e | rara

www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Iliados E

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ε ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Διομήδης Ἀθηνᾶς αὐτῷ ἀντιλαμβανομένης, ἀριστεύει, καὶ πολλοὺς ἀναιρεῖ τῶν πολεμίων· τιτρώσκει δὲ Ἀφροδίτην κατὰ τῆς χειρός, καὶ Ἄρεα κατὰ τῶν κενεώνων. Αἰνείαν δὲ πληγέντα ὑπ' αὐτοῦ λίθῳ, Ἀπόλλων διασώζει. Τληπόλεμος δὲ ὑπὸ Ζαρπιδόνος ἀναιρεῖται. τῷ δὲ Ἄρει Ζεὺς ἐπιπλήττει. ἰᾶται δὲ αὐτὸν Παιήων ὁ τῶν θεῶν ἰατρός.

## ΚΑΙ ΑΛΛΗ

Ἀπαγαγὼν τὸν τοῦ Πηλέως ὁ Ποιητὴς πρόμαχον, ἕτερον τῶν Ἑλλήνων προστῆσαι θελήσας, καὶ παράδοξον ἀριστείαν ἑρμηνεῦσαι τὸν Τυδέως ἵστησιν, καὶ διότι οὐχ οἷός τε ἦν ἐπίσης ἐκείνῳ τοὺς πολεμίους φοβεῖν, φησὶν αὐτὸν ὑπὸ τῆς Ἀθηνᾶς βοηθεῖσθαι, καὶ ἐξαιρέτῳ τιμῇ τετιμῆσθαι. ὁρᾶσθαι γοῦν ὑπὲρ τῶν ὤμων αὐτοῦ φοβερὸν πῦρ καιόμενον, ὡς τοὺς Τρῶας καταπλαγέντας ἐπὶ τῇ παρὰ τῶν θεῶν βοηθείᾳ, καταφυγεῖν. φοβερώτερον αὐτὸν καὶ Ἀχιλλέως νομίζοντας. λέγει οὖν. οὐδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδείδιμεν ὄρχαμον ἀνδρῶν, ὅν περ φασὶ θεᾶς ἐξέμμεναι· ἀλλὰ δὲ λίην μαίνεται. οὐδέ τις οἱ δύναται μένος ἰσοφαρίζειν. τοῦτον τὸν τρόπον Διομήδης ὑπὸ τῆς Ἀθηνᾶς βοηθούμενος, πολλοὺς τῶν Τρώων ἀναιρεῖ. καὶ Πάνδαρον τὸν παρασπονδήσαντα. τιτρώσκει δὲ καὶ Ἀφροδίτην συλλαμβανομένην τῷ παιδὶ Αἰνείᾳ, ὁμοίως δὲ καὶ Ἄρεα. τὴν μὲν οὖν Ἀφροδίτην ἡ μήτηρ Διώνη παραμυθεῖται. τὸν δὲ Ἄρεα ἰᾶται Παιήων, τοῦ Διὸς πρότερον αὐτῷ ἐπιπλήξαντος.

# ΣΚΟΛΙΑ ΕΙΣ ΤΗΝ Ε ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

ΕΝΘΑ Υ.] τότε δή. ἐπίρρημα χρονικόν. ἄλλως δὲ ἐνταῦθα τοπικόν. Παλλάς.] εὐκίνητος. πολεμική. παρὰ τὸ πάλλεσθαι. ὅ ἐστι κινεῖσθαι, ἢ παρὰ τὰς αἰτίας ἃς εἴπομεν ἐν τῇ α. δῶκε.] ἔδωκε. παρέσχε. μένος.] δύναμιν. δῶκε μένος καὶ θάρσος.] τὸ μένος ἐστὶ τοῦ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς. ἵνα οὖν καὶ δύνηται καὶ θαρρῇ, ἀμφότερα αὐτῷ ἔδωκε. πολλοὶ γὰρ δύνανται μέν, οὐ θαρροῦσι δέ. θάρσος δέ ἐστι κατὰ μὲν τοὺς Στωικοὺς φιλοσόφους, τὸ ἀσφαλῶς πεποιθέναι αὐτῷ, ὅτι οὐδενὶ ἂν δεινῷ περιπέσοι. κατὰ δὲ τοὺς ἐξ Ἀκαδημίας, καὶ τοὺς Ἐρετρικούς, ἐπίτασις θαρραλέα. κατὰ δὲ τοὺς Κυρηναικοὺς καὶ Ἐπικουρείους εὐστάθεια κατὰ διάνοιαν καὶ λόγον ἐν δεινῶν ὑπομοναῖς. ὥς φησιν ὁ Ποιητής. Καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκε. θάρσος οὖν ἐστι τὸ εὔλογον παράστημα τῆς ψυχῆς. θράσος δέ, τοὐναντίον. θάρσος.] ψυχῆς ἀνδρεία. πεποίθησις. ἔκδηλος.] διάδηλος, φανερός. μετὰ πᾶσιν.] ἐν πᾶσιν. ἡ γὰρ μετὰ πρόθεσις ἀντὶ τῆς ἐν κεῖται. κλέος ἐσθλόν.] δόξαν ἀγαθήν. ἄροιτο.] ἀπενέγκοιτο. λάβοι. δαῖέ οἱ.] ἔκαιεν. ἔλαμπεν. ἐκ κόρυθός τε καὶ ἀσπίδος.] ἀντὶ τοῦ φαντασίαν πυρὸς ἀπὸ τῶν ὅπλων ἐποίει φαίνεσθαι ὥστε πλέον αὐτὸν εἶναι ἐπίφοβον τοῖς Τρωσίν. ἀκάματον.] πολύ. Ζωΐλος δὲ ὁ Ἐφέσιος κατηγορεῖ τοῦ τόπου τούτου. καὶ μέμφεται τὸν Ποιητὴν ὅτι λίαν γελοίως πεποίηκεν ἐκ τῶν ὤμων τοῦ Διομήδους καιόμενον πῦρ. ἐκινδύνευε γὰρ καταφλεχθῆναι ὁ ἥρως. ἔνιοι μὲν οὖν παρειλῆφθαί φασι τὸ ὡς, κατὰ συνήθειαν τῷ Ποιητῇ ὡς καὶ ἐν ἑτέροις. ὣς οἱ μὲν μάρναντο δέμας πυρός. ὡς πυρὸς φαντασίαν, οὐκ ἰδικῶς πῦρ. ἀστέρ' ὀπωρινῷ.] τῷ κατὰ τὸν καιρὸν ὀπώρας ἀνατέλλοντι ἀστέρι. λέγει δὲ τῷ κυνί, ἢ θερινῷ, καὶ ὀπώρας κατασκευαστικῷ. ὀπώρα δὲ καλεῖται ὁ μεταξὺ θέρους καὶ φθινοπώρου καιρός. ἰστέον ὅτι διαφέρει ἀστὴρ ἄστρου ταύτῃ. ὅτι ὁ μὲν ἀστήρ ἐστιν ἓν σῶμα φύσεως θειοτέρας ἐννοίας ποιούμενον. ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἀστροθέτημα. ὅπερ μιᾷ φαντασίᾳ ὄψεως ὑποπίπτει μετά τινος ἱστορίας τὴν ἀπόδοσιν ἔχον. οἷα τὰ ἐν τῷ Ζωδιακῷ. δράκων. αἱ δύο ἄρκτοι. καὶ τὰ λοιπά. ταῦτα δὲ κεῖται ἐν τῷ ἀρκτικῷ, ὃς καὶ βόρειος καὶ ἀειφανὴς προσαγορεύεται. ὁ δὲ ἀντικείμενος τούτῳ κύκλος ἀνταρκτικὸς καὶ ἀφανὴς καὶ νότιος λέγεται. ἐναλίγκιον.] παραπλήσιον. ὅμοιον τῇ αὐγῇ. παμφαίνῃσι.]

# ΙΛΙΑΔΟΣ Ε ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Εἶ βάλλει Κυθέρειαν, Ἀρηά τε Τυδέος υἱός.

Ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
Δῶκε μένος, καὶ θάρσος, ἵν' ἔκδηλος μετὰ πᾶσιν
Ἀργείοισι γένοιτο, ἰδὲ κλέος ἐσθλὸν ἄροιτο
Δαῖέ οἱ ἐκ κόρυθός τε, καὶ ἀσπίδος ἀκάματον πῦρ,
Ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα

Λαμπρὸν

Λαμπρὸν παμφαίνῃσι λελουμένος ὠκεανοῖο·
Τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε, καὶ ὤμων.
Ὦρσε δέ μιν κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο.
Ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειός, ἀμύμων,
Ἱρεὺς Ἡφαίστοιο. δύο δέ οἱ υἱέες ἤστην,
Φηγεὺς Ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης.
Τώ, οἱ ἀποκρινθέντε, ἐναντίω ὁρμηθήτην,
Τὼ μὲν, ἀφ' ἵπποιιν. ὁ δ' ἀπὸ χθονὸς ὤρνυτο πεζός.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Φηγεύς ῥα πρότερος προΐει δολιχόσκιον ἔγχος.
Τυδείδεω δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
Ἔγχεος. οὐδ' ἔβαλ' αὐτόν. ὁ δ' ὕστερος ὤρνυτο χαλκῷ
Τυδείδης, τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
Ἀλλ' ἔβαλε στῆθος μεταμάζιον. ὦσε δ' ἀφ' ἵππων.
Ἰδαῖος δ' ἀπόρουσε λιπὼν περικαλλέα δίφρον.
Οὐδ' ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο.
Οὐδὲ γὰρ οὐδὲ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν.
Ἀλλ' Ἥφαιστος ἔρυτο, σάωσε δὲ νυκτὶ καλύψας,
Ὡς δή οἱ μὴ πάγχυ γέρων ἀκαχημένος εἴη.
Ἵππους δ' ἐξελάσας μεγαθύμου Τυδέος υἱός,
Δῶκεν ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ἴδον υἷε Δάρητος.
Τὸν μὲν ἀλευάμενον, τὸν δὲ, κτάμενον παρ' ὄχεσφιν,
Πᾶσιν ὀρίνθη θυμός. ἀτὰρ γλαυκῶπις Ἀθήνη
Χειρὸς ἑλοῦσ', ἐπέεσσι προσηύδα θοῦρον Ἄρηα.
Ἄρες, Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,

παμφαίνῃσι.] πανταχοῦ φαίνει. λελουμένος ὠκεανοῖο.] νεωστὶ ἀνατέλλων ἐξ ὠκεανοῦ. τὰς γὰρ ἀνατολὰς τῶν ἄστρων ἐντεῦθεν ὁ Ποιητὴς συνιστᾷ. ὠκεανὸς δὲ ποταμὸς καθ' Ὅμηρον περιῤῥέων κύκλῳ τὴν γῆν, ποταμῶν πάντων πατὴρ ὤν. τοῖόν οἱ πῦρ δαῖε.] τοιοῦτον αὐτοῦ πῦρ ἀνῆπτο. ἀπὸ δὲ τούτων ὅ ἐστι τῆς περικεφαλαίας καὶ τῆς ἀσπίδος ὡς προεῖπε, τὴν τῶν ὅπλων στιλπνότητα δηλοῖ. οὐ γὰρ δὴ πυρὶ ὡμοίωσεν αὐτοῦ τὸ σῶμα. οὐδὲ ὕλῃ τινὶ καιομένῃ ἀλλὰ λαμπρῷ ἀστέρι. οὗ αἱ αὐγαί εἰσι πυρώδεις. φησὶ γάρ. ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον. ὅστε μάλιστα λαμπρὸν παμφαίνῃσιν. ὦρσε δέ μιν.] διήγειρε δὲ αὐτόν. κατὰ μέσσον.] κατὰ τὸ μέσον τῆς μάχης. κλονέοντο.] διεταράσσοντο. ἦν δέ τις ἐν Τρώεσσι Δάρης.] τοῦτο τὸ εἶδος διήγησις. τρεῖς γὰρ ἀρεταὶ διηγήσεως σαφήνεια, συντομία, καὶ πιθανότης. ἀπὸ δὲ ἐνέθηκε τὸ ἔθνος. τὸ ὄνομα τὴν τύχην. τὸν τρόπον. τὴν ἀρχὴν τῶν παίδων] τὰ ὀνόματα καὶ τὴν ἀρετὴν. Δάρης.] ὄνομα κύριον. ἀφνειός.] πλούσιος. οἷον ἀπενεός, ὁ μὴ πενόμενος. ἱρεύς.] ἱερεύς. θύτης. ἤστην.] ἦσαν δυικῶς. μάχης εὖ εἰδότε πάσης.] πάσης μάχης ἐπιστήμονες. τώ οἱ.] οἵτινες αὐτῷ. ἀποκρινθέντε.] ἀποχωρισθέντες τοῦ οἰκείου πλήθους δηλονότι. ἀντίον.] ἐξ ἐναντίας. ὁρμηθήτην.] ὡρμήθησαν. τὼ μέν.] οὗτοι μέν. ἀφ' ἵπποιιν.] ἀπὸ τῶν ἵππων. ὤρνυτο.] ὥρμησεν. οἱ δ' ὅτε δή.] ἐπειδὴ δὲ οὗτοι. σχεδόν.] ἐγγύς. ἐπ' ἀλλήλοισιν ἰόντες.] ἀλλήλοις ἐπερχόμενοι. προΐει.] προέπεμπεν. ἀκωκή.] ἡ ἐπιδορατίς. ἔγχος τὸ δόρυ. ὕστερος.] δεύτερος. οὐχ ἅλιον.] οὐ μάταιον. ἔκφυγεν.] ἐξέπεμψε. ἐξέπτη. μεταμάζιον.] μεταξὺ τῶν μαζῶν. ὦσεν.] ἀπώσατο. κατέβαλεν. ἀφ' ἵππων.] ἀπὸ τῶν ἁρμάτων. Ἰδαῖος ἀπόρουσεν.] ἀφώρμησε. κατηγορεῖ καὶ τούτου τοῦ τόπου Ζωΐλος. ὅτι λίαν φησὶ γελοίως πεποίηκεν ὁ Ποιητὴς τὸν Ἰδαῖον ἀπολιπόντα τοὺς ἵππους καὶ τὸ ἅρμα φεύγειν, ἐδύνατο γὰρ μᾶλλον ἐπὶ τοῖς ἵπποις φυγεῖν. ἀλλὰ ῥητέον ὅτι κατέθορε μὲν τοῦ ἅρματος ὡς ὑπερασπίσων τοῦ ἀδελφοῦ. εὐλαβηθεὶς δὲ τὸν πόλεμον εἰς φυγὴν ὥρμησεν. οἱ δὲ λέγουσιν, ὅτι εἰδὼς τὸ Διομήδους φίλιππον, διὰ τοῦτο ἐᾷ τοὺς ἵππους, ὅπως περὶ αὐτοὺς γένηται, ἢ ὅτι οὐκ ἐπίστησε τῷ συμφέροντι. αἱ γὰρ φρένες ταραχθεῖσαι παρέπλαγξαν καὶ σοφόν. τοιοῦτος εὑρίσκεται παρ' αὐτῷ καὶ Ἀλέξανδρος ἑλκόμενος ὑπὸ τοῦ ἐχθροῦ καὶ ἀγχόμενος ὑπὸ τῆς κόρυθος καὶ τῆς παρούσης συμφορᾶς καὶ ἀγνοῶν χρήσασθαι τῷ παρόντι ξίφει κατὰ τοῦ πολεμίου. λιπών.] καταλιπών. δίφρον.] τὸ ἅρμα. οὐδ' ἔτλη.] οὐδὲ ἐκαρτέρησε. περιβῆναι.] ὑπερμαχῆσαι. ἀδελφειοῦ.] ἀδελφοῦ. κταμένοιο.] ἀναιρεθέντος. οὐδὲ γὰρ οὐδὲ κεν αὐτός.] οὐδὲ γὰρ δὴ ἂν αὐτός. ἡ μία περισσὴ ἀπόφασις. οὐδὲ γὰρ οὐδὲ βίη. οὐδὲ γὰρ οὐδὲ δρύαντος. καὶ ἔστι μία μὲν ἐπὶ τοῦ πράγματος. θατέρα δὲ ἐπὶ τοῦ προσώπου. ὑπέκφυγεν.] ἐξέφυγε. κῆρα μέλαιναν.] τὴν θανατηφόρον μοῖραν. ἔρυτο.] ἐρύσατο. ἐφύλαξε. νυκτί.] σκότει. καλύψας.] περιβαλών. σκεπάσας. ὡς δή οἱ μὴ πάγχυ γέρων.] ὅπως μὴ αὐτῷ παντελῶς ὁ πρεσβύτης. ἀκαχημένος εἴη.] λυπηθείη, ὡς τεθνημένος. ὀνήμενος. ἀκαχήμενος. Αἰολικῶς. κατάγειν.] ἄγειν. διὰ τοῦτο ἐμφαίνει ὅτι ἐν κοιλοτέρῳ τόπῳ ἦν τὸ ναύσταθμον. υἷε Δάρητος.] ἀντὶ τοῦ τὼ υἱὼ Δάρητος. ἐπιφέρει γὰρ τὸν μέν. ἀλευάμενον.] ἐκκλίνοντα. φεύγοντα. κτάμενον.] ἀνῃρημένον. παρ' ὄχεσφι.] παρὰ τοῖς ἅρμασι. πᾶσιν.] ἀντὶ τοῦ πάντων. Ἀττικὸν τὸ σχῆμα. συνήθως γὰρ τῇ δοτικῇ ἀντὶ γενικῆς χρῆται ὁ Ποιητής. ὀρίνθη.] διεταράχθη. ἑλοῦσα.] λαβοῦσα. κρατήσασα. θοῦρον.] ἐνθουσιαστικόν. εὐκίνητον ἐν τῷ πολέμῳ. Ἄρες Ἄρες.] ἀντὶ τοῦ Ἄρη. τοῦτο δὲ τὸ σχῆμα παλιλλογία καλεῖται. βροτολοιγέ.] ἀνθρωποφθόρε. μιαιφόνε.] μιαινόμενε φόνοις. τειχεσιπλῆτα.] τοῖς τείχεσι προσπελάζων. πορθητά.

Οὐκ

ἐὰν δὲ

ἐὰν δὲ διὰ τοῦ β. γράφηται ὁ τὰ τείχη καταβάλλων. ἐάσαιμεν.] ἐάσωμεν. μάρνασθαι.] μάχεσθαι. ὁπποτέροισιν.] ὁπποίοις αὐτῶν. ὀρέξῃ.] δώσει. παράσχοι. ἔστι δὲ κυρίως ἐκτείνειν. ἀφ᾽ οὗ καὶ ὀργυιὰ ἐκλήθη ἡ ἀφ᾽ ἑκατέρων τῶν χειρῶν αὐτῶν ἔκτασις. νῶϊ.] ἡμεῖς, οἱ δύο. χαζώμεσθα.] ἐκφύγωμεν. καθεῖσε.] καθεσθῆναι ἐποίησε. καθίδρυσεν.

ἐπ᾽ ἠϊόεντι.] ἐπὶ τῷ αἰγιαλῷ καὶ ὄχθας ἔχοντι. ἔκλιναν.] εἰς φυγὴν ἔτρεψαν. ἕλεν.] νῦν ἀνεῖλεν. Ἁλιζώνων.] ἔθνους Θρακικοῦ. ἄλλοι δὲ εἶπον αὐτὸ ἓν εἶναι τῶν περὶ τὴν καρικὴν θάλασσαν οἰκούντων ἐθνῶν. στραφθέντι.] εἰς φυγὴν τραπέντι. φεύγοντι. μεταφρένῳ.] νώτῳ. μεσσηγύς.] ἀναμέσον. μεταξύ. ἔλασσε.] διήλασεν. ἔπληξεν. ἐνήρατο.] ἐφόνευσε. Μῄονος.] Λυδοῦ.] ἔστι δὲ τὸ ὄνομα ἐθνικόν. Τάρνης. Τάρνη πόλις Λυδίας ἡ νῦν Σάρδις λεγομένη. νύξεν.] ἔνυξεν. ἔπληξε. στυγερός. μισητός. φρικτός. εἷλεν.] ἔλαβεν. ἐσύλευον.] ἐσύλουν. ἐσκύλευον. ἐγύμνουν. αἵμονα θήρης.] ἐπιστήμονα κυνηγετικῆς. ὀξυόεντι.] ὀξεῖ, ἢ ἀπὸ ὀξείας εἴδους δένδρου κατασκευασμένον. θηρητῆρα.] θηρευτήν. κυνηγόν. ἄγρια.] θηρία. χραῖσμεν.] ἐβοήθησεν. ἰοχέαιρα.] ἡ ἰοῖς καὶ βέλεσι χαίρουσα. τοξότης. ἑκηβολίαι.] εὐστοχίαι. ᾗσιν.] αἷς. ἐκέκαστο.] ἐκεκόσμητο. δουρικλυτός.] περὶ τὸ δόρυ ἔνδοξος. πολεμικός. πρόσθεν ἕθεν.] ἔμπροσθεν αὐτοῦ. διὰ δὲ στήθεσφι.] διὰ τοῦ στήθους. ἤριπεν.] ἔπεσε. πρηνής.] ἐπὶ στόμα, ἐπὶ πρόσωπον. ἀράβησεν.] ἤχησεν. ὀνοματοποιΐα ὁ τρόπος. Ἁρμονίδεω.] Ἁρμονίδου παιδός. οἰκεῖον δὲ ὄνομα τέκτονος, παρὰ τὸ συνηρμόζειν. δαίδαλα.] ποικίλα. τεύχειν.] κατασκευάζειν. ποιεῖν. ἔξοχα.] ἐξόχως. ὑπερβαλλόντως. φίλατο.] ἐφίλησε. τεκτήνατο.] κατεσκεύασεν. ἀρχεκάκους.] ἀρχὴν τῶν κακῶν παρασχούσας. οἷ τ᾽ αὐτῷ.] καὶ αὐτῷ ἐκείνῳ τῷ κατασκευάσαντι. δηλονότι Φερέκλῳ. ἐγένοντο.] πέλοντο. ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδη.] Λακεδαιμόνιοι λιμῷ κρατηθέντες, ἐμαντεύοντο περὶ ἀπαλλαγῆς. ὁ δὲ θεὸς αὐτοῖς ἔχρησεν ἐξιλάσκεσθαι τοὺς Τεύκρων δαίμονας. οὕτως δὲ πρότερον οἱ Ἰλιεῖς ἐκαλοῦντο. Μενέλαος οὖν ἀφικόμενος εἰς Ἴλιον, τὸ προσαχθὲν ἔπρασσε. κἀκεῖθεν εἰς Δελφοὺς παρεγένετο περὶ παίδων γενέσεως χρησμὸν ληψόμενος. συνείπετο δὲ τῷ καὶ Ἀλέξανδρος περὶ γυναικὸς μαντευσόμενος. γενομένων οὖν ἀμφοτέρων ἐπὶ τὸ μαντεῖον, λέγεται χρῆσαι τὴν Πυθίαν τάδε. τίπτε δύο βασιλῆες ὁ μὲν Τρώων ὁ δ᾽ Ἀχαιῶν, οὐκ εὖ ὁμοφρονέοντες ἐμὸν δόμον εἰσανέβητε, ἤτοι ὁ μὲν πώλοιο γόνον διζήμενον εὑρεῖν. Αὐτὰρ ὁ πῶλον ἑλεῖν. τίνυ μήσεαι ὦ μεγάλε Ζεῦ, τοὺς δὲ μὴ νοήσαντας τὸ λόγιον, χωρισθῆναι. ὁ δὲ λόγος ἐπεὶ οὐκ ᾔδη τὰ ἐκ θεῶν μαντεύματα. Ἑλλάνικος δὲ φησὶ χρησμὸν δοθῆναι τοῖς Τρωσὶν ἀπέχεσθαι μὲν ναυτιλίας, γεωργίᾳ δὲ προσανέχειν, μὴ τῇ θαλάσσῃ χρώμενοι ἀπολέσωσιν αὐτοὺς καὶ τὴν πόλιν. οὔτοι.] οὐδαμῶς. θέσφατα.] θεόφατα. τὰ ἐκ θεῶν μαντευόμενα. κατέμαρπτε.] κατελάμβανε.

Οὐκ ἂν δὴ Τρῶας μὲν ἐάσαιμεν καὶ Ἀχαιοὺς
Μάρνασθ᾽ ὁπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξῃ;
Νῶϊ δὲ χαζώμεσθα, Διὸς δ᾽ ἀλεώμεθα μῆνιν;
Ὣς εἰποῦσα, μάχης ἐξήγαγε θοῦρον Ἄρηα.
Τὸν μὲν ἔπειτα καθεῖσεν ἐπ᾽ ἠϊόεντι Σκαμάνδρῳ.
Τρῶας δ᾽ ἔκλιναν Δαναοί· δ᾽ ἕλε ἄνδρα ἕκαστος
Ἡγεμόνων. πρῶτος δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Ἀρχὸν Ἁλιζώνων Ὀδίον μέγαν ἔκβαλε δίφρου.
Πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν
Ὤμων μεσσηγύς. διὰ δὲ στήθεσφιν ἔλασσε.
Δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἰδομενεὺς δ᾽ ἄρα Φαῖστον ἐνήρατο Μῄονος υἱὸν
Βώρου, ὃς ἐκ Τάρνης ἐριβώλακος εἰληλούθει.
Τὸν μὲν ἄρ᾽ Ἰδομενεὺς δουρικλυτὸς ἔγχεϊ μακρῷ
Νύξ᾽ ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον.
Ἤριπε δ᾽ ἐξ ὀχέων. στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλε.
Τὸν μὲν ἄρ᾽ Ἰδομενῆος ἐσύλευον θεράποντες.
Υἱὸν δὲ Στροφίοιο Καμάνδριον, αἵμονα θήρης,
Ἀτρεΐδης Μενέλαος ἕλ᾽ ἔγχεϊ ὀξυόεντι,
Ἐσθλὸν θηρητῆρα, δίδαξε γὰρ Ἄρτεμις αὐτὴ
Βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.
Ἀλλ᾽ οὔ οἱ τότε γε χραῖσμ᾽ Ἄρτεμις ἰοχέαιρα,
Οὐδὲ ἑκηβολίαι, ᾗσιν τὸ πρίν γ᾽ ἐκέκαστο.
Ἀλλά μιν Ἀτρεΐδης δουρικλυτὸς Μενέλαος
Πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὔτασε δουρὶ
Ὤμων μεσσηγύς. διὰ δὲ στήθεσφιν ἔλασσεν.
Ἤριπε δὲ πρηνής, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Μηριόνης δὲ, Φέρεκλον ἐνήρατο τέκτονος υἱὸν
Ἁρμονίδεω. ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα
Τεύχειν. ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη.
Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας
Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο,
Οἷ τ᾽ αὐτῷ, ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ᾔδη.
Τὸν μὲν Μηριόνης ὅτε δὴ κατέμαρπτε διώκων,

Βέβληκε

γλουτὸν

γλουτόν.] γλουτός, τὸ περὶ τοῖς σφαιρώμασιν ἰσχίον ἢ κοτύλη. κατὰ κύστιν.] κατὰ τὴν φύσκαν, ὅ περ ἐστὶν οὐροδόχον ἀγγεῖον. γνὺξ ἔριπων.] ἐπὶ γόνυ πεσών. οἰμώξας.] στενάξας. βοήσας. θάνατος δέ μιν ἀμφεκάλυψε.] περιφραστικῶς ἀπέθανεν. ἔπεφνεν.] ἐφόνευσε. νόθος.] ὁ μὴ ἐκ νομίμης γυναικὸς ὤν. πύκα.] ἐπιμελῶς. ἶσα φίλοισι τέκεσσι. ἐπίσης τοῖς προσφιλεστάτοις τέκνοις. χαριζομένη.] χάριν ποιοῦσα. πόσεϊ ᾧ.] τῷ ἰδίῳ ἀνδρί.

Βεβλήκει γλουτὸν κατὰ δεξιόν. ἡ δὲ διαπρὸ
Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἤλυθ' ἀκωκή.
Γνὺξ δ' ἔριπ' οἰμώξας. θάνατος δέ μιν ἀμφεκάλυψεν
Πήδαιον δ' ἄρ' ἔπεφνε Μέγης Ἀντήνορος υἱόν.
Ὅς ῥα νόθος μὲν ἔην. πύκα δ' ἔτρεφε δῖα Θεανὼ
Ἶσα φίλοισι τέκεσσι χαριζομένη πόσεϊ ᾧ.
Τὸν μὲν Φυλείδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν,
Βεβλήκει κεφαλῆς κατὰ ἰνίον ὀξέϊ δουρί.
Ἀντικρὺ δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν τάμε χαλκός.
Ἤριπε δ' ἐν κονίῃ. ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν
Εὐρύπυλος δ' Εὐαιμονίδης Ὑψήνορα δῖον,
Υἱὸν ὑπερθύμου Δολοπίονος, ὅς ῥα Σκαμάνδρου
Ἀρητὴρ ἐτέτυκτο. θεὸς δ' ὣς τίετο δήμῳ.
Τὸν μὲν ἄρ Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός.
Πρόσθεν ἕθεν φεύγοντα μεταδρομάδην ἔλασ' ὦμον
Φασγάνῳ ἀΐξας, ἀπὸ δ' ἔξεσε χεῖρα βαρεῖαν.
Αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε. τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή.
Ὣς οἱ μὲν, πονέοντο κατὰ κρατερὴν ὑσμίνην.
Τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη.
Ἠὲ μετὰ Τρώεσσιν ὁμιλέοι, ἢ μετ' Ἀχαιοῖς.
Θῦνε γὰρ ἀμπεδίον ποταμῷ πλήθοντι ἐοικὼς
Χειμάρρῳ, ὅστ' ὦκα ῥέων ἐκέδασσε γεφύρας.
Τὸν δ' οὔτ' ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν,
Οὔτ' ἄρα ἕρκεα ἴσχει ἀλωάων ἐριθηλέων.
Ἐλθόντ' ἐξαπίνης, ὅτ' ἐπιβρίσῃ Διὸς ὄμβρος.
Πολλὰ δ' ὑπ' αὐτοῦ ἔργα κατήριπε κάλ' αἰζηῶν.
Ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες
Τρώων. οὐδ' ἄρα μιν μίμνον, πολέες περ ἐόντες.
Τὸν δ' ὡς οὖν ἐνόησε Λυκάονος ἀγλαὸς υἱὸς
Θύνοντ' ἀμπεδίον, πρὸ ἕθεν κλονέοντα φάλαγγας,
Αἶψ' ἐπὶ Τυδείδῃ ἐτιταίνετο καμπύλα τόξα,
Καὶ βάλ' ἐπαΐσσοντα, τυχὼν κατὰ δεξιὸν ὦμον
Θώρηκος γύαλον. διὰ δ' ἔπτατο πικρὸς ὀϊστός.
Ἀντικρὺ δὲ διέσχε. παλάσσετο δ' αἵματι θώρηξ.
Τῷ δ' ἐπὶ μακρὸν ἄϋσε Λυκάονος ἀγλαὸς υἱός.
Ὄρνυσθε Τρῶες μεγάθυμοι κέντορες ἵππων.

βέβληται

Φυλείδης.] ὁ Φυλέως παῖς Μέγης. ἐγγύθεν ἐλθών. ἐγγὺς παραγενόμενος. ἰνίον. τὸ κοῖλον τοῦ τένοντος. κέκληται δὲ οὕτως διὰ τὸ νευρῶδες εἶναι. ἢ τὸ πλατὺ καὶ παχὺ νεῦρον, τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα. ἂν ὀδόντας. κατὰ τῶν ὀδόντων. τάμεν.] ἀπέτεμεν. ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν.] ἤτοι κυρίως διὰ τὸ ψυχρὸν καὶ ἄθερμον εἶναι τὸν σίδηρον ἢ τὸν τῆς ψυχῆς ποιητικόν. διὰ τὸ ἀποψύχεσθαι τοὺς ἀναιρουμένους ὑπ' αὐτοῦ. τὸ γοῦν ψυχροποιὸν σίδηρον, τοῖς ὀδοῦσιν ἔλαβεν. Εὐαιμονίδης.] Εὐαίμονος παῖς Εὐρύπυλος. ἀρητήρ.] ἱερεύς. ἐτέτυκτο. κατεσκεύαστο. ἦν. θεὸς δ' ὥς.] ὡς θεός] ὁ τρόπος ἀναστροφή. τίετο.] ἐτιμᾶτο. μεταδρομάδην.] ἐπιδραμών. ἐπιδιώξας. ἔλασεν.] ἔπληξε. φασγάνῳ.] τῷ ξίφει. ἀΐξας.] ὁρμήσας. ἀπὸ δ' ἔξεσεν.] ἀπέξεσεν. ἀπέκοψε. πορφύρεος.] μέλας. ἢ ὁ δι' αἵματος. κραταιή. ἰσχυρά. πονέοντο.] ἐνήργουν. γνοίης. ἐπέγνως. ποτέροισι μετείη.] ἐν ποτέροις ᾖ. ἐν ποίοις ὑπάρχει. ὁμιλέοι.] ἀναστρέφοιτο. θῦνε.] ἐμμανῶς ὥρμα. ἀμπεδίον.] διὰ τοῦ πεδίου. πλήθοντι] πεπληρωμένῳ. πλημμυροῦντι. χειμάρρῳ.] χείμαρροι λέγονται οἱ μὴ ἀέναον τὸ ὕδωρ ἔχοντες, ἀλλὰ χειμῶνος πληρούμενοι ὑπὸ τῶν συνεχῶν ὄμβρων. ὦκα.] ὀξέως. ἐκέδασσε.] ἐσκέδασσε. διεσκόρπισε. γεφύρας.] τὰς διαβάσεις τῶν ποταμῶν. ἐεργμέναι.] περιπεφραγμέναι. ἠσφαλισμέναι. ἰσχανόωσιν.] ἐπέχουσι. λύουσιν. ἀλωάων.] χωρίων ἀμπελοφύτων, ἢ δενδροφύτων. σημαίνει δὲ καὶ τὴν ἅλω ἐν ᾗ ὁ σῖτος. ἔνιοι δὲ κῆπον ἀγρῶν. ἐριθηλέων.] μεγάλως θαλλουσῶν. αὐξανομένων. ἐξαπίνης.] ἐξαίφνης. ἐπιβρίσει. ἐπιβαρήσει, ἢ σφοδρὸς ἐπέλθοι. ὄμβρος.] μέγας ὑετός. βροχή. ἔργα.] νῦν τὰ γεώργια. κατήριπε.] κατέβαλεν. αἰζηῶν.] νέων. μίμνον.] ἔμενον. θύνοντα.] ἐνθουσιωδῶς ὁρμῶντα. πρὸ ἕθεν.] πρὸ αὐτοῦ. κλονέοντα.] ταράσσοντα. πορθοῦντα τὰς πρὸ αὐτοῦ τάξεις. ἐτιταίνετο.] ἔτεινεν. εἷλκε. καμπύλα. ἐπικαμπῆ. ἐπαΐσσοντα.] ἐφορμῶντα. παῖσμα γὰρ ἡ τῶν ποδῶν βάσις. τυχών.] ἐπιτυχών. θώρηκος γύαλον.] κατὰ τὸ κοῖλον τοῦ θώρακος. διὰ δ' ἔπτατο.] διέπτη, ὅ ἐστι διῆλθε. πικρὸς ὀϊστός.] τὸ πικροποιὸν καὶ ἐπίπονον βέλος. διέσχε. διῆλθε. παλάσσετο.] ἐβρέχετο, ἐμολύνετο ἀφ' οὗ καὶ πηλὸς ἡ βεβρεγμένη γῆ. μακρὸν ἄϋσε.] μέγα ἀνέκραγεν. ὄρνυσθε.] ὁρμᾶτε. διεγείρεσθε. κέντορες ἵππων.] ἱππικοί. ἵππους πλήσσοντες.

βέβληται.]

βέβληται.] τέτρωται παρὰ τὸ βέλος. οὐδέ ἑ φημι.] οὐδὲ ὑπολαμβάνω αὐτόν. δηθά.] ἐπιπολύ. ἀνασχήσεσθαι.] ἀνθέξειν πρὸς τὴν βολήν. εἰ ἐτεόν.] εἰ ἀληθῶς. ὦρσεν.] ἐφώρμησε. διήγειρεν. ἀπορνύμενον.] ἀφορμῶντα.

Λυκίηθεν.] ἀπὸ Λυκίας χώρας, ἧς ἐβασίλευε Σαρπηδών. ἔστι δὲ καὶ ἑτέρα ἀπὸ Τρωάδος πόλις ἧς ἐβασίλευε Πάνδαρος. εὐχόμενος.] εὐχῶν. ἀναχωρήσας.] εἰς τοὐπίσω ἀναπηδήσας. πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν.] ἔμπροσθεν τῶν ἵππων καὶ τῶν ἁρμάτων. Καπανήϊον.] τὸν Καπανέως παῖδα, Σθένελον. ὄρσο.] διεγείρου. πέπον.] προσφιλέστατε νῦν. καταβήσεο.] κατάβηθι. ἐρύσσῃς.] ἑλκύσῃς. ἐξ ὤμοιιν.] ἐκ τῶν ὤμων. καθ' ἵππων.] ἀπὸ τοῦ ἅρματος. ἆλτο χαμᾶζε.] κατήλατο εἰς τὴν γῆν. πὰρ δὲ στάς.] παραστὰς δέ. διαμπερές.] διαμπάξ. διόλου. ἀνηκόντιζε.] ἀθρόως ἀνεφέρετο. στρεπτοῖο χιτῶνος.] τοῦ ἁλυσειδοῦς σιδήρου. διά.] ἀντὶ τοῦ κατά. Ἀτρυτώνη.] ἀκαταπόνητε. φίλα φρονέουσα.] ἀγαθὰ φρονοῦσα. δηΐῳ.] καυστικῷ. φθαρτικῷ. φίλαι.] ἀντὶ τοῦ φίλησον. ἑλεῖν.] ἐν χερσὶν ἔχειν. ἐπιφέρει γὰρ εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν. φθάμενος.] φθάσας. καὶ ἐπεύχεται.] καὶ μεγαλαυχεῖ. δηρόν.] ἐπιπολύ. φάος.] φῶς. ὁ τρόπος διαίρεσις. γυῖα.] μέλη. ἐλαφρά.] κοῦφα. εὐκίνητα. μάχεσθαι.] μάχου. μένος.] δύναμιν. πατρώϊον.] πατρικόν. ἧκα.] ἀνέθηκα. ἐνέβαλον. ἄτρομον.] ἀδεές. ἄφοβον. σακέσπαλος.] πολεμικός, ἀπὸ τοῦ πάλλειν τὸ σάκος καὶ κινεῖν. εἴρηται δὲ ἐπειδὴ παρὰ πρώτοις εὑρέθη Σάκαις. Σάκαι δέ εἰσιν οἱ Θρᾷκες. ἄτρομον οἷον ἔχεσκε.] Τυδεὺς ὁ Οἰνέως ἐν τῷ Θηβαϊκῷ πολέμῳ ὑπὸ Μελανίππου τοῦ Ἀστακοῦ ἐτρώθη. Ἀμφιάρεως δὲ κτείνας τὸν Μελάνιππον, τὴν κεφαλὴν ἐκόμισε. καὶ ἀνοίξας αὐτὴν ὁ Τυδεὺς τὸν ἐγκέφαλον ἐρρόφει ὑπὸ θυμοῦ. Ἀθηνᾶ δὲ κομίζουσα Τυδεῖ ἀθανασίαν, ἰδοῦσα τὸ μίασμα, ἀπεστράφη αὐτόν. Τυδεὺς δὲ γνοὺς, ἐδεήθη τῆς θεοῦ ἵνα κἂν τῷ παιδὶ αὐτοῦ παράσχῃ τὴν ἀθανασίαν. ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον.] καὶ τὴν ἀορασίαν δηλοῦσα τῶν ὀφθαλμῶν ἀφειλόμην. πῶς οὖν φησιν ἐν τοῖς ἑξῆς ἀγνοεῖ τὸν Γλαῦκον ὁ Διομήδης λέγων τίς δὲ σύ ἐσσι φέριστε, καὶ φαμὲν, ὅτι πρὸς καιρὸν ἀφῄρηται τὴν ἀχλὺν ὑπὸ τῆς Ἀθηνᾶς, ἵνα τρώσῃ τὴν Ἀφροδίτην, καὶ Ἄρεα. τρωθέντων δὲ τούτων πάλιν κατὰ τὰ σιωπώμενα ἀποδίδοται ἡ οἰκεία ἀχλύς. δι' ἣν αἰτίαν ἀγνοεῖ καὶ τὸν Γλαῦκον. ἐπῆεν.] ἐπῆν. ἐπέκειτο. γιγνώσκοις.] ἐπιγιγνώσκοις. ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.] τόν τε αὐτοπρόσωπον θεὸν καὶ μεταβαλλόμενον εἰς ἄνδρα τὴν ἰδέαν. πειρώμενος.] ἀπόπειραν ποιούμενος. ἢ πειρώμενος λανθάνειν ἐν ἀνθρώπου μορφῇ. αὐτὰρ εἴ κε.] ἐὰν δέ. μόνην βούλεται τρωθῆναι τὴν Ἀφροδίτην διὰ τὸ προειρηκέναι τὸν Δία. τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη αἰεὶ παρμέμβλωκε, καὶ αὐτοῦ κῆρας ἀμύνει. ἔλθῃσιν.] ἔλθῃ, ὑποτακτικὸν ῥῆμα. τήνγ' οὐτάμεναι.] ταύτην τρῶσαι. διὰ τί κατὰ τῆς χειρὸς τιτρώσκεται ἡ Ἀφροδίτη. ὅτι χειρὶ λαβομένη παρῄνει τῇ Ἑλένῃ, καὶ κακῶς ἠρέθισεν αὐτῆς ἀκούσαι. ἀπέβη.] ἀπῆλθεν. ἐχωρίσθη. ἐξαῦτις.] ἐκ δευτέρου. ἰών.] πορευθείς. καὶ πρίν περ.] καὶ περ τὸ πρότερον.

Βέβληται γὰρ ἄριστος Ἀχαιῶν, οὐδέ ἑ φημὶ
Δηθ' ἀνασχήσεσθαι κρατερὸν βέλος, εἰ ἐτεόν με
Ὦρσεν ἄναξ Διὸς υἱὸς ἀπορνύμενον Λυκίηθεν.
Ὣς ἔφατ' εὐχόμενος· τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν·
Ἀλλ' ἀναχωρήσας, πρόσθ' ἵπποιιν καὶ ὄχεσφιν,
Ἔστη, καὶ Σθένελον προσέφη Καπανήϊον υἱόν·
Ὄρσεο πέπον Καπανηϊάδη, καταβήσεο δίφρου,
Ὄφρα μοι ἐξ ὤμοιιν ἐρύσσῃς πικρὸν ὀϊστόν.
Ὣς ἄρ' ἔφη· Σθένελος δὲ καθ' ἵππων ἆλτο χαμᾶζε·
Πὰρ δὲ στὰς, βέλος ὠκὺ διαμπερὲς ἐξέρυσ' ὤμου·
Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος.
Δὴ τότ' ἔπειτ' ἠρᾶτο βοὴν ἀγαθὸς Διομήδης·
Κλῦθί μοι αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,
Εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης
Δηΐῳ ἐν πολέμῳ, νῦν αὖτ' ἐμὲ φίλαι Ἀθήνη·
Δὸς δέ τέ μ' ἄνδρα ἑλεῖν, καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν,
Ὅς μ' ἔβαλε φθάμενος, καὶ ἐπεύχεται, οὐδέ μέ φησι
Δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν·
Ἀγχοῦ δ' ἱσταμένη, ἔπεα πτερόεντα προσηύδα·
Θαρσῶν νῦν Διόμηδες ἐπὶ Τρώεσσι μάχεσθαι·
Ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἧκα,
Ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς·
Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
Ὄφρ' εὖ γιγνώσκοις ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.
Τῷ νῦν αἴ κε θεὸς πειρώμενος ἐνθάδ' ἵκηται,
Μή τι σύγ' ἀθανάτοισι θεοῖς ἀντικρὺ μάχεσθαι
Τοῖς ἄλλοις· ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
Ἔλθῃσ' ἐς πόλεμον, τήνγ' οὐτάμεν ὀξέϊ χαλκῷ.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη·
Τυδείδης δ' ἐξαῦτις ἰὼν, προμάχοισιν ἐμίχθη,
Καὶ πρίν περ θυμῷ μεμαὼς Τρώεσσι μάχεσθαι.

τρὶς τόσσον.] τρὶς τοσοῦτον. ἕλε.] νῦν ἔλαβεν. ὅν ῥά.] ὅντινα δή. ἀγρῷ.] ἀγροικίᾳ. εἰροπόκοις.] ἔρια ἐχούσαις. ὀΐεσι.] προβάτοις. χραύσῃ.] ἀμύξῃ ἐπ' ὀλίγον, τὸν χρῶτα ἐπιξύσῃ. ὑπεράλμενον.] ὑπεραλλόμενον. οὐ προσαμύνει.] οὐ προσβοηθεῖ. σταθμοὺς.] τὰς ἐπαύλεις. δύεται.] κρύπτεται. τὰ δ' ἐρῆμα φοβεῖται.] τὰ δὲ βοσκήματα ἠρημωμένα διὰ τὴν τοῦ ποιμένος βοηθείας, φεύγει. τινὲς δὲ ὅπερ ἐστὶ βέλτιον ἀντὶ τοῦ ποιμένος τοῦτο νοοῦσιν. ὅτε καταδύεται εἰς τὴν ἔπαυλιν φοβούμενος τὴν ἐρημίαν. οὐδέποτε γὰρ ὁ Ποιητὴς οὐδετέρως λέγει τὰ πρόβατα εἰ μὴ ἀναφέροιτο ἐπὶ τὰ μῆλα ἢ θρέμματα.

Δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος, ὥστε λέοντα
Ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὀΐεσσι,
Χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον, οὐδὲ δαμάσσῃ,
Τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ τ' οὐ προσαμύνει,
Ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ' ἐρῆμα φοβεῖται,
Αἱ μέν τ' ἀγχιστῖναι ἐπ' ἀλλήλῃσι κέχυνται,
Αὐτὰρ ὁ ἐμμεμαὼς, βαθέης ἐξάλλεται αὐλῆς,
Ὣς μεμαὼς, Τρώεσσι μίγη κρατερὸς Διομήδης,
Ἔνθ' ἕλεν Ἀστύνοον, καὶ Ὑπείνορα ποιμένα λαῶν.
Τὸν μὲν, ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί.
Τὸν δ' ἕτερον ξίφεϊ μεγάλῳ κληῗδα παρ' ὦμον
Πλῆξ'. ἀπὸ δ' αὐχένος ὦμον ἐέργαθεν, ἠδ' ἀπὸ νώτου,
Τοὺς μὲν, ἔασ'. ὁ δ' Ἄβαντα μετῴχετο, καὶ Πολύειδον,
Υἱέας Εὐρυδάμαντος ὀνειροπόλοιο γέροντος.
Τοῖς, οὐκ ἐρχομένοις, ὁ γέρων ἐκρίνατ' ὀνείρους,
Ἀλλά σφεας κρατερὸς Διομήδης ἐξενάριξε.
Βῆ δὲ μετὰ Ξάνθον τε, Θόωνά τε, Φαίνοπος υἷε
Ἄμφω τηλυγέτω. ὁ δ' ἐτείρετο γήραϊ λυγρῷ.
Υἱὸν δ' οὐ τέκετ' ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι.
Ἔνθ' ὅγε τοὺς ἐνάριξε, φίλον δ' ἐξαίνυτο θυμὸν
Ἀμφοτέροιν. πατέρι δὲ γόον, καὶ κήδεα λυγρὰ
Λεῖπ', ἐπεὶ οὐ ζώοντε μάχης ἐκνοστήσαντε,
Δέξατο. χηρωσταὶ δὲ διὰ κτῆσιν δατέοντο.
Ἔνθ' υἷας Πριάμοιο δύω λάβε Δαρδανίδαο.
Εἰν ἑνὶ δίφρῳ ἐόντας, Ἐχέμμονά τε, Χρομίον τε.
Ὡς δὲ λέων ἐν βουσὶ θορὼν, ἐξ αὐχένα ἄξῃ
Πόρτιος, ἠὲ βοὸς, ξύλοχον κάτα βοσκομενάων,
Ὣς τοὺς ἀμφοτέρους ἐξ ἵππων Τυδέος υἱὸς
Βῆσε κακῶς ἀέκοντας. ἔπειτα δὲ τεύχε' ἐσύλα.
Ἵππους δ' οἷς ἑτάροισι δίδου μετὰ νῆας ἐλαύνειν.
Τὸν δ' ἴδεν Αἰνείας ἀλαπάζοντα στίχας ἀνδρῶν.
Βῆ δ' ἴμεν ἄν τε μάχην, καὶ ἀνὰ κλόνον ἐγχειάων.
Πάνδαρον ἀντίθεον διζήμενος εἴπου ἐφεύροι,
Εὗρε Λυκάονος υἱὸν, ἀμύμονά τε, κρατερόν τε.
Στῆ δὲ πρόσθ' αὐτοῖο, ἔπος τέ μιν ἀντίον ηὔδα.
Πάνδαρε, ποῦ τοι τόξον, ἰδὲ πτερόεντες ὀϊστοὶ,
Καὶ κλέος ᾧ οὔτις τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ;
Οὐδέ τις ἐν Λυκίῃ σέο γ' εὔχεται εἶναι ἀμείνων.

ἀγχιστῖναι.] ἐπάλληλοι, πυκναὶ, πλησίον, ἅμα ἀλλήλαις. κέχυνται.] κεῖνται ἀθρόαι. βαθέης ἐξάλλεται αὐλῆς.] αὐτὶ τοῦ ἐσάλλεται εἰς τὴν βαθεῖαν ἔπαυλιν ἔνδον, ἤτοι ὑπεράλλεται. μεμαώς.] προθυμούμενος. κληῗδα.] τὴν κατακλεῖδα. παρὰ τὸ κατακλείεσθαι ὑπ' αὐτῆς τόν τε αὐχένα, καὶ τὸν ὦμον. καὶ Δημοσθένης φησί· τὴν κλεῖν κατεαγότα. ἐέργαθεν.] ἐχώρησεν, ἀπέκοψε. μετῴχετο.] μετήρχετο, ἐπορεύετο. ὀνειροπόλοιο.] ὀνειροκρίτου. περὶ ὀνειράτων κρίσιν ἀναστρεφομένου. οὐκ ἐρχομένοις.] οὐχ ὑποστρέψουσιν. τὸ δὲ ὅλον. οἷς τισι μὴ ἐπανιοῦσι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους. ἔστι γὰρ ἕν τι τῶν ἀμφιβόλων. ἤτοι γε ἐμαντεύσατο ὡς οὐκ ἐπανερχομένοις. ἢ ἐν ἤθει λέλεκται καὶ οὐ προεῖπε διὰ τῶν ὀνείρων, ὅτι ἀναιρεθήσονται. οὐχ ὅτι οὐδαμῶς ἔκρινεν αὐτοῖς ἐρχομένοις ὁ πατὴρ τοὺς ὀνείρους καὶ τὰ συμβησόμενα ἐμαντεύσατο. ἀλλ' ὅτι οὐκ ἐπανήξουσιν ἀπὸ τοῦ πολέμου ἔκρινεν αὐτοῖς τοὺς ὀνείρους. ὀνείρους.] ἐνύπνια. σφέας.] αὐτούς. μετὰ Ξάνθον.] ἐπὶ τὴν Ξάνθον. ἄμφω.] ἀμφότεροι. τηλυγέτω.] μονογενεῖς, ἀγαπητοί. τείρετο.] κατεπονεῖτο. λυγρῷ.] χαλεπῷ. ἐπὶ κτεάτεσιν.] ἀντὶ τοῖς κτήμασι. λιπέσθαι.] καταλιπεῖν. ἐξαίνυτο.] ἀφείλετο. πατέρι δέ.] τῷ δὲ πατρί. γόον.] θρῆνον. λεῖπε.] κατέλιπε. ζώοντε.] ζῶντας. χηρωσταί.] οἱ χῆροι καὶ ἄπαιδος κληρονόμοι. οἱ κατ' οὐδένα τρόπον προσήκοντες τῷ γένει. διὰ κτῆσιν δατέοντο.] διαμερίζονται τὴν οὐσίαν. ἐόντας.] ὄντας. θορών.] ἐφορμήσας. ἄξει.] κατεάξει, συντρίψει. πόρτιος.] δαμαλέως, μόσχου. προτάξας τὸ εἶδος, γένος ἐπήγαγε. ξύλοχον κάτα.] κατά τινα ὑλώδη καὶ σύνδενδρον τόπον. βοσκομενάων.] βοσκομένων ὁ τρόπος ἐπέκτασις. βῆσε.] κατεβίβασεν. ἐσύλα.] ἐσκύλευε. μετὰ νῆας.] ἀντὶ τὰς ναῦς. ἀλαπάζοντα.] κενοῦντα, πορθοῦντα, φθείροντα. κυρίως δὲ κενοῦντα. διὸ καὶ Ἀθηναῖοι τὰ κενώματα λάπαθα καλοῦσιν. ἄν τε μάχην.] κατὰ τὴν μάχην. ἀνὰ κλόνον.] κατὰ τὸν θόρυβον, καὶ κατὰ τὴν ταραχήν. ἐγχειάων.] δοράτων.

πρόσθ' αὐτοῖο.] ἔμπροσθεν αὐτοῦ. ἀντίον.] ἐξ ἐναντίας. ποῦ τοι τόξον, ποῦ σοι ἡ διὰ τῶν τόξων τέχνη. ἠδὲ πτερόεντες ὀϊστοί.] καὶ τὰ ταχέα ἤτοι ἐπτερωμένα βέλη. ἐρίζεται.] ἐρίζει, ἁμιλλᾶται. σέο.] σοῦ. εὔχεται.] καυχᾶται.

ἄφες.] ἐπίπεμψον. Διῒ χεῖρας ἀνασχών.] εὐξάμενος τῷ Διΐ. ὅστις ὅδε.] ὅστις ποτὲ ἐστὶν οὗτος. κρατέει] κρατεῖ, ἄρχει. ἐπεί.] σύνδεσμος παραπληρωματικός, δηλῶν τὸ ἐπειδή. γούνατ' ἔλυσε.] περιφραστικῶς, ἀνεῖλε. κοτεσσάμενος.] ὀργισθείς. ἱρῶν.] ἱερείων, θυσιῶν. μηνίσας.] ὀργισθείς. ἐπὶ μῆνις.] ἐπίμονος ὀργή. ἢ ἔπι ὑπέρ, » ὡς τὸ βοῶν ἐπιβουκόλος ἀνήρ. ἐΐσκω.] εἰκάζω, ὁμοιῶ. ἀσπίδι γιγνώσκων.] ἀπὸ τῆς ἀσπίδος γνωρίζων. αὐλώπιδι.] αὐλίσκον ἐχούσῃ, καθ' ὃ πήγνυται ὁ λόφος. ἢν ἢ περικεφαλαίας εἶδος λόφον ὡς ὀξὺ ἀνατεταμένον ἐχούσης.

τρυφαλείῃ.] φάλους ἐχούσῃ τέσσαρας. φάλοι δέ εἰσιν κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας χρυσοῖ ἧλοι. ἢ ἀστερίσκοι. σάφα.] σαφῶς, ἀληθῶς, ἀσφαλῶς. εἰ δ' ὅ γ' ἀνήρ.] εἰ δὲ οὗτος ἐστὶν ὁ ἀνήρ. ὅν φημι.] ὃν ἐγὼ ἀπεικάζω. οὐχ ὅ γε.] οὐχ οὗτος. τάδε.] ταῦτα. ἄγχι.] ἐγγύς. εἰλυμένος.] κεκαλυμμένος, περιβεβλημένος. κιχήμενον.] καταλαμβάνοντα, ἢ ὡρμημένον. ἔτραπεν.] ἔτρεψεν. ἄλλῃ.] ἀλλαχόσε. ἐφῆκα.] ἐπέπεμψα. διὰ θώρηκος γυάλοιο.] διὰ τοῦ κοίλου θώρακος. ἐφάμην.] ἐλογισάμην. Ἀϊδωνῆϊ.] τῷ ᾅδῃ. θεός νύ τις.] θεὸς δή τις. κοτήεις.] ὀργιζόμενος. οὐ παρέασιν.] οὐ πάρεισιν. τῶν κ' ἐπιβαίην.] ὧν ἂν ἐπιβῶ. ἐν μεγάροισιν.] ἐν τοῖς οἴκοις. πρωτοπαγεῖς.] πρώτως πεπηγότες, νεοκατασκεύαστοι. ἀμφὶ δὲ πέπλοι.] περὶ αὐτοὺς δὲ πέπλοι. πέπλοι δὲ λεπτὰ ὑφάσματα, ἢ σινδόνες. ἔτι δὲ γυναικεῖ-
» ον ἱμάτιον, ὡς ἐκεῖ. πέπλον μὲν κατέχευεν
» ἑανὸν πατρὸς ἐπ' οὔδει. καὶ πέπλος
» ὅστις τοι χαριέστατος ἠδὲ μέγιστος. πέπτανται.] περιβέβληνται, ἥπλωνται. παρὰ δέ σφιν ἑκάστῳ.] παρ' ἑνὶ δὲ ἑκάστῳ αὐτῶν. δίζυγες.] διττοί, ἀνὰ δύο ἐζευγμένοι. κρῖ.] κριθάς. ἀποκοπὴ τὸ πάθος. ἐρεπτόμενοι.] κυρίως μὲν ἐσθίοντες ἐκ τῆς ἔρας, ὅ ἐστι τῆς γῆς, ἀνακειρόμενοι. νῦν δὲ καταχρηστικῶς ἁπλῶς ἐσθίοντες. ὀλύρας.] εἶδος κριθώδους καρποῦ. αἰχμητά.] αἰχμητής, πολεμικός. ἐπέτελλε.] προσέταττε. ποιητοῖσι.] καλῶς κατεσκευασμένοις. ἐμβεβαῶτα.] ἐμβεβηκότα. ἀρχεύειν Τρώεσσιν.] ἡγεῖσθαι τῶν Τρώων. λέγει δὲ τοὺς τὴν Ζέλειαν πόλιν Τροίαν κατοικοῦντας. οὐ πιθόμην.] οὐκ ἐπείσθην. πολὺ κέρδιον ἦεν.] κατὰ πολὺ κρεῖττον ἂν ἦν. δευοίατο.] ἐνδεεῖς γένοιντο. φορβῆς.] τροφῆς. εἰωθότες.] εἰθισμένοι. ἔδμεναι.] ἐσθίειν. ἄδδην.] δαψιλῶς, Αἰολὶς ἡ διάλεκτος. ὣς λίπον.] οὕτως κατέλιπον. ἢ διὰ τοῦτο. πεζός.] ὁ ἐκ ποδῶν μαχόμενος. πέζα γὰρ τὰ κάτω τοῦ ποδός. διὸ καὶ ἀργυρόπεζα. πίσυνος.] πεπιστευκώς, τεθαρρηκώς. τὰ δέ με.] ταῦτα δέ με. οὐκ ἄρα.] οὐ δή. ὀνήσειν.] ὠφελήσειν. δοιοῖσι.] δύο. ἀριστήεσσι.] προμάχοις. ἐφῆκα.] ἔπεμψα. ἀμφοτέροιιν.] ἀμφοτέρων. ἔσσευα.] ῥυῆναι ἐποίησα. ἤγειρα.] παρώρμησα, προέτρεψα. κακῇ αἴσῃ.] κακῇ μοίρᾳ. πασσάλου.] πάσσαλος ξύλον ἐπίμηκες ἐμπηγνύμενον πρὸς τὸ κρεμᾶσαι ἐπ' αὐτοῦ. ἀγκύλα.] ἐπικαμπῆ, ὅλομεν.]

Ἀλλ' ἄγε τῷδ' ἄφες ἀνδρὶ βέλος, Διῒ χεῖρας ἀνασχών,
Ὅστις ὅδε κρατέει, καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας, ἐπεὶ πολλῶν τε, καὶ ἐσθλῶν γούνατ' ἔλυσεν,
Εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν,
Ἱρῶν μηνίσας· χαλεπὴ δὲ θεοῦ ἔπι μῆνις.
Τὸν δ' αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων.
Τυδείδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω,
Ἀσπίδι γιγνώσκων, αὐλώπιδί τε τρυφαλείῃ,
Ἵππους τ' εἰσορόων. σάφα δ' οὐκ οἶδ' εἰ θεός ἐστιν,
Εἰ δ' ὅγ' ἀνὴρ, ὅν φημι, δαΐφρων Τυδέος υἱός,
Οὐχ ὅγ' ἄνευθε θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι
Ἕστηκ' ἀθανάτων, νεφέλῃ εἰλυμένος ὤμους,
Ὃς τούτου βέλος ὠκὺ κιχήμενον ἔτραπεν ἄλλῃ.
Ἤδη γάρ οἱ ἐφῆκα βέλος. καί μιν βάλον ὦμον
Δεξιὸν, ἀντικρὺ διὰ θώρηκος γυάλοιο.
Καί μιν ἔγωγ' ἐφάμην ἀϊδωνῆϊ προϊάψειν.
Ἔμπης δ' οὐκ ἐδάμασσα. θεός νύ τις ἐστὶ κοτήεις.
Ἵπποι δ' οὐ παρέασι, καὶ ἅρματα, τῶν κ' ἐπιβαίην,
Ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι
Καλοὶ, πρωτοπαγεῖς, νεοτευχέες, ἀμφὶ δὲ πέπλοι
Πέπτανται. παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι
Ἑστᾶσιν, κρῖ λευκὸν ἐρεπτόμενοι, καὶ ὀλύρας.
Ἦ μέν μοι μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων
Ἐρχομένῳ ἐπέτελλε δόμοις ἐνὶ ποιητοῖσιν.
Ἵπποισίν μ' ἐκέλευε, καὶ ἅρμασιν ἐμβεβαῶτα,
Ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας.
Ἀλλ' ἐγὼ οὐ πιθόμην. ἦτ' ἂν πολὺ κέρδιον ἦεν,
Ἵππων φειδόμενος μή μοι δευοίατο φορβῆς
Ἀνδρῶν εἰλομένων, εἰωθότες ἔδμεναι ἄδδην.
Ὣς λίπον. αὐτὰρ πεζὸς ἐς Ἴλιον εἰλήλουθα,
Τόξοισιν πίσυνος. τὰ δέ μ' οὐκ ἄρ' ἔμελλον ὀνήσειν.
Ἤδη γὰρ δοιοῖσιν ἀριστήεσσιν ἐφῆκα.
Τυδείδῃ τε, καὶ Ἀτρείδῃ. ἐκ δ' ἀμφοτέροιιν
Ἀτρεκὲς αἷμ' ἔσσευα βαλὼν, ἤγειρα δὲ μᾶλλον.
Τῷ ῥα κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα

Ἤματι

ἑλόμην.] ἀνελαβόμην. ἐρατεινήν.] ἐπέραστον, καλήν. ἡγεόμην Τρώεσσιν.] ἡγούμην Τρώων. χάριν.] χάριτα, βοήθειαν. ἐσόψομαι.] ἐσιδέω, θεάσομαι. ὑψηρεφές.] ὑψηλόν, μέγα. ἀλλότριος φώς.] πολέμιος ἀνήρ. φαεινῷ.] λαμπρῷ. ἐν πυρὶ θείην.] ἐν πυρὶ βαλῶ. εὐκτικὸν ἀντὶ ἐνεργητικοῦ. ἀνεμώλια.] μάταια. ὀπηδεῖ.] ἕπεται, ἀκολουθεῖ.

Ἤματι τῷ δ' ἑλόμην, ὅτε Ἴλιον εἰς ἐρατεινὴν
Ἡγεόμην Τρώεσσι, φέρων χάριν Ἕκτορι δίῳ.
Εἰ δέ κε νοστήσω, καὶ ἐσόψομαι ὀφθαλμοῖσιν
Πατρίδ' ἐμὴν, ἄλοχόν τε, καὶ ὑψερεφὲς μέγα δῶμα,
Αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς,
Εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην,
Χερσὶ διακλάσσας. ἀνεμώλια γάρ μοι ὀπηδεῖ.
Τὸν δ' αὖτ' Αἰνείας Τρώων ἀγὸς ἀντίον ηὔδα.
Μὴ δ' οὕτως ἀγόρευε. πάρος δ' οὐκ ἔσσεται ἄλλως,
Πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρὶ σὺν ἵπποισι, καὶ ὄχεσφιν
Ἀντιβίην ἐλθόντε σὺν ἔντεσι πειρηθῆναι.
Ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι
Οἷοι Τρώϊοι ἵπποι ἐπιστάμενοι πεδίοιο,
Κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα διωκέμεν, ἠδὲ φέβεσθαι.
Τὼ, καὶ νῶϊ πόλιν δὲ σαώσετον, εἴπερ ἂν αὖτε
Ζεὺς ἐπὶ Τυδεΐδῃ Διομήδει κῦδος ὀρέξῃ.
Ἀλλ' ἄγε νῦν μάστιγα, καὶ ἡνία σιγαλόεντα
Δέξαι. ἐγὼ δ' ἵππων ἐπιβήσομαι, ὄφρα μάχωμαι.
Ἠὲ σὺ τόνδε δέδεξο. μελήσουσιν δ' ἐμοὶ ἵπποι.
Τὸν δ' αὖτε προσέειπε Λυκάονος ἀγλαὸς υἱός.
Αἰνεία, σὺ μὲν αὐτὸς ἔχ' ἡνία, καὶ τεὼ ἵππω.
Μᾶλλον ὑφ' ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα
Οἴσετον, εἴπερ ἂν αὖτε φεβώμεθα Τυδέος υἱόν.
Μὴ τὼ μὲν δείσαντε, ματήσετον, οὐδ' ἐθέλητον
Ἐκφερέμεν πολέμοιο, τεὸν φθόγγον ποθέοντε.
Νῶϊ δ' ἐπαΐξας μεγαθύμου Τυδέος υἱὸς,
Αὐτώ τε κτείνῃ, καὶ ἐλάσσῃ μώνυχας ἵππους.
Ἀλλὰ σύ γ' αὐτὸς ἔλαυνε τέ' ἅρματα, καὶ τεὼ ἵππω.
Τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί.
Ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες,
Ἐμμεμαῶτ' ἐπὶ Τυδεΐδῃ, ἔχον ὠκέας ἵππους,
Τοὺς δὲ ἴδε Σθένελος Καπανήϊος ἀγλαὸς υἱός.
Αἶψα δὲ Τυδεΐδην ἔπεα πτερόεντα προσηύδα.
Τυδεΐδη Διόμηδες ἐμῷ κεχαρισμένε θυμῷ
Ἄνδρ' ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι,
Ἶν' ἀπέλεθρον ἔχοντας, ὁ μὲν, τόξων ἐῢ εἰδὼς
Πάνδαρος, υἱὸς δ' αὖτε Λυκάονος εὔχεται εἶναι.
Αἰνείας δ' υἱὸς μεγαλήτορος Ἀγχίσαο
Εὔχεται ἐκγεγάμεν. μήτηρ δέ οἵ ἐστ' Ἀφροδίτη.
Ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων. μηδέ μοι οὕτω

Θῦνε

μὴ δ' οὕτως ἀγόρευε.] μὴ δὲ οὕτως λέγε. πάρος δ' οὐκ ἔσσεται ἄλλως.] πρὸς τὸ παρὸν οὐ πράξομεν ἄλλως. πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρί.] πρὶν ἡμᾶς κατὰ τοῦδε τοῦ ἀνδρός. ἐλθόντε.] ἀπαντήσαντες, συνελθόντες. σὺν ἔντεσι.] σὺν τοῖς ὅπλοις. πειρηθῆναι.] ἀπόπειραν λαβεῖν. ὀχέων.] ἁρμάτων. ἐπιβήσεο.] ἐπίβηθι. ὄφρα ἴδηαι.] ὅπως μάθῃς. Τρώϊοι.] ἀπόγονοι τῶν Τρωὸς ἵππων. ἢ οἱ τῷ Τρωῒ κεχαρισμένοι ἀντὶ τῆς ἁρπαγῆς Γαννυμήδους. κραιπνά.] κραιπνῶς, ταχέως. ἔνθα καὶ ἔνθα.] ἔνθα κἀκεῖσε. διωκέμεν ἠδὲ φέβεσθαι.] διώκειν καὶ φεύγειν. σαώσετον.] σώσουσιν. εἴπερ αὖ αὖτε.] εἴπερ δὴ πάλιν. ἐπὶ Τυδεΐδῃ Διομήδει κῦδος ὀρέξῃ.] ἐὰν ἡμῖν ὁ Ζεὺς δόξαν παράσχῃ, ἐπὶ τῷ Τυδέως παιδὶ Διομήδει. σιγαλόεντα.] ἤτοι εὐδιάσειστα. ἢ λαμπρὰ καὶ ποικίλα τῇ κατασκευῇ. ἢ τὰ μεγάλως καὶ ποικίλως κατασκευασμένα τὰ θαυμαστὰ καὶ σιωπὴν ἐκ τοῦ θαύματος ἐντιθέμενα. οἱονεὶ † σιγαλόεντά τινα ὄντα. † σιγαλόεντα δέδεξο.] προσδέχου, ἐπιτήρησον. μελήσουσι.] διὰ ἐπιμελείας ἔσονται. τεὼ ἵππω.] τοὺς σοὺς ἵππους. ἡνιόχῳ εἰωθότι.] τῷ συνήθει, τῷ εἰθισμένῳ αὐτοὺς ἡνιοχεῖν. οἴσετον.] οἴσουσι, κομίσουσι. φεβώμεθα.] φεύγωμεν. μὴ τὼ μέν.] μὴ οὗτοι μέν. δείσαντε.] φοβηθέντες.

ματήσετον.] ματαιοπραγήσωσι, ματαίαν ἔχωσι τὴν προθυμίαν. οὐδ' ἐθέλητον.] οὐδὲ βουληθῶσιν. ἐκφερέμεν.] ἐκφέρειν. ἀπαρέμφατον ἀντὶ ἐνεργητικοῦ. τεὸν φθόγγον ποθέοντε.] τὴν σὴν φωνὴν ποθοῦντες. νῶϊ δ' ἐπαΐξας.] ἡμᾶς δὲ ἐφορμήσας. αὐτώ τε.] ἀντὶ τοῦ ἡμᾶς αὐτοὺς, δυϊκῶς. ἐλάσσῃ.] ἀπελάσῃ. μώνυχας.] μονώνυχας. τέ' ἅρματα.] τὰ σὰ ἅρματα. ἐπιόντα.] ἐπερχόμενον. δεδέξομαι.] ὑποδέξομαι, ἐπιτηρήσω. ἔχον.] ἤλαυνον. ἐμῷ κεχαρισμένε θυμῷ.] τῇ ἐμῇ ψυχῇ προσφιλέστατε. ὁρόω.] ὁρῶ. ἐπὶ σοὶ μεμαῶτε.] κατὰ σοῦ προθυμουμένους. ἶν' ἀπέλεθρον.] δύναμιν ἀμέτρητον. πέλεθρον τὸ καὶ πλέθρον, μέτρον γῆς ἔχον πήχεις ξϛ. δίμοιρον. ἶνα δὲ ἔρηται ἀπὸ τῆς ὀρθῆς ἴς. τόξων εὖ εἰδώς.] τῆς τοξικῆς ἐπιστήμων. μεγαλήτορος.] μεγαλοψύχου. ἐκγεγάμεν.] ἐκγεγεννῆσθαι. χαζώμεθ' ἐφ' ἵππων.] ἀναχωρῶμεν ὄντες ἐπὶ τῶν ἵππων.

ἵππων. φίλον ἦτορ.] τὴν προσφιλεστάτην ψυχήν. ὀλέσσῃς.] ἀπολέσῃς. μή τι φόβον δ᾽ ἀγόρευε.] μηδαμῶς περὶ φυγῆς λέγε. πεισέμεν.] πείσειν. οἴω.] οἶμαι, ὑπολαμβάνω. γενναῖον.] ἤτοι συγγενές, ἢ ἐκ γένους παρεπόμενον. ἀλυσκάζοντι.] ἐκκλίνοντι, φεύγοντι. καταπτώσσειν.] δειλιᾶν. ἔμπεδον.] ἑδραῖον, βέβαιον. ὀκνέω.] ὀκνῶ. ἐπιβαινέμεν.] ἐπιβαίνειν. ἀλλὰ καὶ αὔτως.] ἀλλὰ καὶ οὕτως. ἀντίον εἶμ᾽ αὐτῶν.] ἐξ ἐναντίας αὐτῶν ἄπειμι. τρεῖν.] εὐλαβεῖσθαι, φοβεῖσθαι. οὐκ ἐᾷ] οὐκ ἀφίησιν, οὐ συγχωρεῖ. κατὰ διάλυσιν Ὁμηρικῷ ἔθει, κατὰ ἀποκοπὴν ἀπὸ τοῦ οὐκ ἐάει. τούτω δέ.] τούτους δὲ, δυικῶς. πάλιν.] εἰς τοὐπίσω. ἄμφω.] ἀμφοτέρους. ἀποίσετον.] ἀποίσουσιν, ἀποκομίσουσιν. ἀφ᾽ ἡμείων.] ἀφ᾽ ἡμῶν. εἰ γοῦν ἕτερός γε φύγῃσιν.] εἰ μή τι αὐτῶν τῶν δύο ὁ ἕτερος διαφύγῃ. πολύβουλος.] πολυγνώμων, συνετή. ἐρυκακέειν.] κατέχειν. ἐξ ἄντυγος ἡνία τείνας.] ἐξάψας τὰς ἡνίας διὰ τοῦ ἅρματος περιφερείας. λέγει δὲ τοῦ κύκλου τοῦ παραπεπηγότος ἐν τῷ ἅρματι πρὸς τὸ ἀνατείνειν τῷ ἐπιβάτῃ. Αἰνείαο δὲ.] Αἰνείου δέ. ἐπαΐξαι.] ἐφορμῆσαι. ἐκ δ᾽ ἐλάσαι.] ἐξελάσαι δέ. μετά.] ἀντὶ τοῦ πρός. εὐρύοπα.] μεγαλόφωνος. ποινήν.] ἀντέκτισιν, δωρεάν. ὑπ᾽ ἠῶ τ᾽ ἠέλιόν τε.] περιφραστικῶς ὑπὸ τὸ φῶς τοῦ κόσμου τούτου. γενεῆς.] γενεᾶς, γένους. ἔκλεψεν.] ἐνοσφίσατο. ὑποσχών.] ὑπολαβών. θηλέας.] θηλείας. γενέθλη.] γέννα. ἀτίταλλον.] ἀνέτρεφε. μήστωρε φόβοιο.] ἐπιστήμονας καὶ ἐμπείρους. ὅ ἐστι πολεμικούς. γενναίους ἢ φυγὴν ἐμποιοῦντας τοῖς πολεμίοις. ἀροίμεθά κε.] κτησαίμεθα ἄν. τάχα.] ταχέως. καρτερόθυμε δαΐφρον.] δυναμικώτατε, ἀνδρειότατε. ταῦτα δέ φησιν ἐν εἰρωνείᾳ. ἀγαυοῦ.] ἀγαθοῦ, λαμπροῦ. δαμάσσατο.] ἐδάμασεν, ἀνεῖλε. πικρός.] πικροποιός, ἐπίπονος. αἴκε τύχοιμι.] ἐὰν ἐπιτύχοιμι. ἦ ῥα.] οὕτως εἶπεν. ἀμπεπαλών.] ἀνατείνας, ἀνασείσας. προΐει.] προέπεμψε. δολιχόσκιον.] μακρόν. πταμένη.] πτᾶσα. πελάσθη.] προσεπελάσθη, προσήγγισε. μακρόν.] ἐξάκουστον, μέγα. ἄυσεν.] ἐβόησε. βέβληαι.] τέτρωσαι. κενεῶνα.] τὸν ὑπὸ τὰς πλευρὰς τόπον τὴν λαγόνα, παρὰ τὸ κενὸν αὐτὸν εἶναι ὀστέων. διαμπερές.] διαμπὰξ, διόλου. ἀνσχήσεσθαι.] ἀνασχέσθαι, ὑπομεῖναι. μέγ᾽ εὖχος.] μεγάλην δόξαν, καὶ καύχημα. οὐ ταρβήσας.] οὐ καταπλαγείς, οὐ φοβηθείς. ἤμβροτες.] ἥμαρτες, ἀπέτυχες. τὸ αὐτὸ σημαίνει καὶ τὸ οὐκ ἔτυχες. ἀτὰρ οὐ μὲν σφῶΐ γ᾽ οἴω.] οὐ μὴν ὑμᾶς ὑπονοῶ. πρίν γ᾽ ἀποπαύσασθαι.] πρό-

† ἐπεί σ᾽ οὐ πεισέμεν.

Θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς.
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης.
Μή τι φόβον δ᾽ ἀγόρευε, † ἐπεὶ οὐδέ σε πεισέμεν οἴω.
Οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι,
Οὐδὲ καταπτώσσειν, ἔτι μοι μένος ἔμπεδόν ἐστιν.
Ὀκνείω δ᾽ ἵππων ἐπιβαινέμεν. ἀλλὰ καὶ αὔτως,
Ἀντίον εἶμ᾽ αὐτῶν. τρεῖν μ᾽ οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.
Τούτω δ᾽ οὐ πάλιν αὖτις ἀποίσετον ὠκέες ἵπποι,
Ἄμφω ἀφ᾽ ἡμείων, εἰ γοῦν ἕτερός γε φύγῃσιν.
Ἄλλο δέ τοι ἐρέω. σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν
Αἴκεν μοι πολύβουλος Ἀθήνη κῦδος ὀρέξῃ
Ἀμφοτέρω κτεῖναι, σὺ δὲ τούσδε μὲν ὠκέας ἵππους
Αὐτοῦ ἐρυκακέειν ἐξ ἄντυγος ἡνία τείνας.
Αἰνείαο δ᾽ ἐπαΐξαι, μεμνημένος ἵππων,
Ἐκ δ᾽ ἐλάσαι Τρώων μετ᾽ ἐϋκνήμιδας Ἀχαιούς.
Τῆς γάρ τοι γενεῆς, ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς
Δῶχ᾽ υἷος ποινὴν Γανυμήδεος, οὕνεκ᾽ ἄριστοι
Ἵππων ὅσσοι ἔασιν ὑπ᾽ ἠῶ τ᾽, ἠέλιόν τε.
Τῆς γενεῆς ἔκλεψεν ἄναξ ἀνδρῶν Ἀγχίσης
Λάθρῃ Λαομέδοντος ὑποσχὼν θήλεας ἵππους.
Τῶν, οἱ ἓξ ἐγένοντο ἐνὶ μεγάροισι † γενέθλη.
Τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων, ἀτίταλλ᾽ ἐπὶ φάτνῃ.
Τὼ δὲ δύ᾽ Αἰνείᾳ δῶκεν μήστωρε φόβοιο.
Εἰ τούτω κε λάβοιμεν, ἀροίμεθά κεν κλέος ἐσθλόν.
Ὣς οἱ μὲν, τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Τὼ δὲ τάχ᾽ ἐγγύθεν ἦλθον ἐλαύνοντ᾽ ὠκέας ἵππους.
Τὸν, πρότερος προσέειπε Λυκάονος ἀγλαὸς υἱός.
Καρτερόθυμε δαΐφρον ἀγαυοῦ Τυδέος υἱέ.
Ἦ μάλα σ᾽ οὐ βέλος ὠκὺ δαμάσσατο, πικρὸς ὀϊστός.
Νῦν αὖτ᾽ ἐγχείῃ πειρήσομαι, αἴκε τύχοιμι.
Ἦ ῥα. καὶ ἀμπεπαλὼν, προΐει δολιχόσκιον ἔγχος.
Καὶ βάλε Τυδείδαο κατ᾽ ἀσπίδα. τῆς δὲ διαπρὸ
Αἰχμὴ χαλκείη πταμένη, θώρηκι πελάσθη.
Τῷ δ᾽ ἐπὶ μακρὸν ἄυσε Λυκάονος ἀγλαὸς υἱός.
Βέβληαι κενεῶνα διαμπερές. οὐδέ σ᾽ ὀΐω
Δηρόν ἔτ᾽ ἀνσχήσεσθαι. ἐμοὶ δὲ μέγ᾽ εὖχος ἔδωκας.
Τὸν δ᾽ οὐ ταρβήσας, προσέφη κρατερὸς Διομήδης.
Ἤμβροτες. οὐδ᾽ ἔτυχες. ἀτὰρ οὐ μὲν σφῶΐ γ᾽ οἴω
Πρίν γ᾽ ἀποπαύσεσθαι, πρίν γ᾽ ἢ ἕτερόν γε πεσόντα

† γενέθλης

Αἵματος

τερον

τερον παύσασθαι. ἆσαι.] κορέσαι, πληρῶσαι. ταλαύρινον.] ὑπομονητικόν. ὣς φάμενος.] οὕτως εἰπών. ἴθυνεν.] ἔτρεψε, κατεύθυνεν, ἐνεχθῆναι ἐποίησε. βέλος δ' ἴθυνεν Ἀθήνη ῥῖνα παρ' ὀφθαλμόν.] καὶ τὰ ἑξῆς. ζητεῖται πῶς Διομήδους ἀκοντίσαντος πεζοῦ, Πανδάρου δὲ ἐπὶ ἅρματος ὄντος, ἐκ τοῦ κοιλοτέρου φερόμενον τὸ δόρυ κατωφερῆ πεποίηκε τὴν τρῶσιν. ἔστι δὲ λέγειν ὅτι πρῶτον μὲν Ἀθηνᾶ ἦν ἡ κατευθύνουσα αὐτό. ἢ δυνατὸν ἦν τοῦτο ποιῆσαι. ἐπειδὴ, ὅτι προσεπινεύσας ὁ Πάνδαρος ἕνεκα τοῦ θεάσασθαι, εἰ καιρίως ἐτρώθη ὁ Διομήδης, οὕτως ἐβλήθη διὰ τῆς ῥινὸς τὴν γλῶσσαν. οἱ δὲ ὅτι ἐν ἀνωμάλοις τόποις μαχομένων, ἐνίοτε τὰ μὲν ἅρματα ἐν χθαμαλωτέροις τόποις τρέχειν, τοὺς δὲ πεζοὺς ἐνίοτε ἀπὸ μετεώρου μάχεσθαι. ὥστε καὶ τὸν Διομήδην ἀφ' ὕψους βεβληκέναι. ἢ ὅτι δειλωθεὶς τὴν ὁρμὴν τοῦ ἥρωος ὁ Πάνδαρος συνεκάθισε. ῥῖνα παρ' ὀφθαλμόν.] κατὰ τοῦ μυκτῆρος παρὰ τὸν ὀφθαλμόν. ἐπέρησε.] διεπέρασε, διῆλθε. πρυμνήν.] ἐσχάτην. ἐξέκοψε δὲ αὐτοῦ τὴν γλῶσσαν διὰ τῆς ἐπιορκήσεως. ἐξελύθη.] ἐξώρμησε, διῆλθε. νείατον.] ἔσχατον, κατώτατον. ἤριπεν.] ἔπεσεν. ἀράβησεν.] ἤχησεν. αἰόλα.] ποικίλα. παμφανόωντα.] πάνυ λάμποντα. παρέτρεσσαν.] διὰ δέος ἔφυγον. ὠκύποδες.] ταχεῖς. αὖθι.] αὐτοῦ τόπον καὶ τόθι. λύθη.] ἐλύθη. ψυχή τε μένος τε.] περιφραστικῶς ἀπέθανεν. ἀπόρουσεν.] ἀφώρμησεν. ἐρυσαίατο.] ἑλκύσειαν. ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε.] περιέβαινε δὲ αὐτῷ καὶ ὑπερεμάχει. λέων ὥς.] ὡς λέων. ἀλκὶ πεποιθώς.] τῇ δυνάμει τεθαρρηκώς, εἴρηται δὲ ἀπὸ τῆς ὀρθῆς τῆς ἄλξ ὡς ἀπὸ τῆς πλάξ. ὅς τις τοῦ γε.] ὅς τις τούτου. σμερδαλέα.] καταπληκτικὰ φοβερά. ἰάχων.] ἐκβοῶν, κράζων. χερμάδιον.] χειροπληθῆ λίθον. μέγα ἔργον.] μέγα βάρος. φέροιεν.] κομίζοιεν. οἷοι.] ὁποῖοι. ῥέα.] ῥᾳδίως, εὐκόλως. πάλλεν.] ἐκίνει, ἔπαλλεν. οἶος.] μόνος. ἰσχίον.] τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἐνήρεισται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὴν κοιλότητα. ἐνστρέφεται.] ἔνδον φέρεται. κοτύλη δὲ αἱ ἐν τοῖς ἰσχίοις κοιλότητες, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. θλάσσε.] περιέθραυσε. πρὸς δ' ἄμφω ῥῆξε τένοντε.] πρὸς δὲ καὶ ἀμφότερα ἀπέρρηξε τὰ κατατεινόμενα νεῦρα. ὦσεν.] ἀπώσατο, ἀπέσυρε. ῥινόν.] τὸ δέρμα. τρηχύς.] τραχύς. γνύξ.] ἐπὶ γόνυ. ἐριπών.] πεσών. ἐρείσατο.] ἐπερείσθη. παχείῃ.] ἰσχυρᾷ. κελαινή.] σκοτεινή, φοβερά. καί νύ κεν.] καὶ δὴ ἄν. ἔνθ' ἀπόλοιτο.] τότε ἀπώλετο, ἠφανίστο. εἰ μὴ ἄρ.] εἰ μὴ δή. ὀξὺ νόησεν.] ὀξέως καὶ ταχέως ἐθεάσατο. ἥ μιν.] ἥ τις αὐτόν. ὑπ' Ἀγχίσῃ.] συγγινομένη τῷ Ἀγχίσῃ. βουκολέοντι.] βοῦς νέμοντι. ἀμφὶ δ' ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ.] περιέθηκε δὲ τῷ ἑαυτῆς παιδὶ, τοὺς λευκοὺς πήχεις. τουτέστι περιεπτύξατο καὶ ἐνηγκαλίσατο αὐτόν. ἑόν.] ἴδιον. ἐχεύατο.] περιεπτύξατο, περιέλαβε. πήχεε λευκώ.] τοῖς λευκοῖς πήχεσι. λέγει δὲ τὰς χεῖρας ἀπὸ μέρους. πρόσθεν δέ οἱ.] ἔμπροσθεν δὲ αὐτοῦ. οὐχ ὡς ἄτρωτον δὲ περιβάλλει αὐτῷ τὸν πέπλον, ἀλλ' ἵνα κρύψῃ αὐτόν. φαεινοῦ.] λαμπροῦ. πτύγμ' ἐκάλυψεν.] αὐτῷ τὸ διπλῶ τῷ πέπλῳ. ἕρκος.] περίφραγμα, τειχίον. ἔμεν.] ὑπάρχειν, εἶναι. ταχυπώλων.] ἱππικῶν, πολεμικῶν. ἕλοιτο.] ἀφέλοιτο. ὑπεξέφερεν.] ἠρέμα ἐξέφερεν. ἐλήθετο.] ἐπελάθετο. συνθεσιάων.] συνθηκῶν, ἐντολῶν.

Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
Ὣς φάμενος, προέηκε. βέλος δ' ἴθυνεν Ἀθήνη,
Ῥῖνα παρ' ὀφθαλμόν. λευκοὺς δ' ἐπέρησεν ὀδόντας.
Τοῦ δ' ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής.
Αἰχμὴ δ' ἐξεχύθη παρὰ νείατον ἀνθερεῶνα.
Ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ
Αἰόλα, παμφανόωντα, παρέτρεσσαν δέ οἱ ἵπποι
Ὠκύποδες. τοῦ δ' αὖθι λύθη ψυχή τε, μένος τε.
Αἰνείας δ' ἀπόρουσε σὺν ἀσπίδι, δουρί τε μακρῷ,
Δείσας μήπως οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί.
Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε λέων ὣς ἀλκὶ πεποιθώς.
Πρόσθε δέ οἱ δόρυ τ' ἔσχε, καὶ ἀσπίδα πάντοτε ἴσην,
Τὸν, κτάμεναι μεμαὼς, ὅς τις τοῦ γ' ἀντίος ἔλθοι.
Σμερδαλέα ἰάχων, ὁ δὲ, χερμάδιον λάβε χειρὶ.
Τυδείδης μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν.
Οἷοι νῦν βροτοί εἰσ'. ὁ δέ, μιν ῥέα πάλλε καὶ οἶος.
Τῷ βάλεν Αἰνείαο κατ' ἰσχίον, ἔνθά τε μηρὸς
Ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσι.
Θλάσσε δέ οἱ κοτύλην, πρὸς δ' ἄμφω ῥῆξε τένοντε.
Ὦσε δ' ἀπὸ ῥινὸν τρηχὺς λίθος. αὐτὰρ ὅ γ' ἥρως
Ἔστη γνὺξ ἐριπών. καὶ ἐρείσατο χειρὶ παχείῃ
Γαίης, ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε.
Καί νύ κεν ἔνθ' ἀπόλοιτο ἄναξ ἀνδρῶν Αἰνείας,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Διὸς θυγάτηρ Ἀφροδίτη
Μήτηρ, ἥ μιν ὑπ' Ἀγχίσῃ τέκε βουκολέοντι.
Ἀμφὶ δ' ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ.
Πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψεν
Ἕρκος ἔμεν βελέων, μή τις Δαναῶν ταχυπώλων
Χαλκὸν ἐνὶ στήθεσσι βαλὼν, ἀπὸ θυμὸν ἕλοιτο.
Ἡ μὲν, ἑὸν φίλον υἱὸν ὑπεξέφερεν πολέμοιο.
Οὐδ' υἱὸς Καπανῆος ἐλήθετο συνθεσιάων.

Τάων

τάων.] τούτων. ἐπέτελλε.] προσέταττεν. ἠρύκακε.] κατέσχε. νόσφι.] χωρίς, πόρρω. φλοίσβου.] ταραχῆς, θορύβου. ἐπαΐξας.] ἐφορμήσας. ἐξέλασεν.] ἐξήγαγεν, ἤλασεν. ὃν περὶ πάσης τίεν ὁμηλικίης.] ὃν ὑπὲρ πάντας ἐτίμα τοὺς ὁμήλικας. ὅτι οἱ.] ὅτι αὐτῷ. ἄρτια.] ὑγιῆ, ἡρμοσμένα. ὧν ἵππων.] τῶν ἰδίων ἁρμάτων. μέθεπε.] κατόπιν Ἀφροδίτης ἐδίωκε. κρατερώνυχας.] ἰσχυροὺς ὄνυχας ἔχοντας. ἐμμεμαώς.] προθυμούμενος.

ὁ δὲ Κύπριν ἐπῴχετο.] ἐπὶ Ἀφροδίτην ὥρμα. οὕτως γὰρ ἐκλήθη ἡ θεὸς παρόσον ἐν τῇ Κύπρῳ μεγάλως τιμᾶται.

νηλέϊ.] ἀνηλεεῖ, σκληρῷ. γιγνώσκων.] ἐπιστάμενος. ἄναλκις.] ἀσθενής.

θεάων.] τῶν θεῶν, θηλυκῶς. ἡ διάλεκτος Βοιωτῶν. τάων.] τούτων. αἵ.] αἵ τινες. κοιρανέουσι.] διατάσσουσι.

πτολίπορθος.] πόλεις πορθοῦσα, πολεμική. ἡ γὰρ Ἐνυὼ δαίμων ἐστὶ πολεμική. ἧς οἱ νεώτεροι ποιηταὶ υἱὸν εἶναι φασὶ τὸν Ἄρεα. καὶ διὰ τοῦτο καλεῖσθαι Ἐνυάλιον μητρωνυμικῶς. ὅμιλον.] πλῆθος θόρυβον. ἀπὸ δὲ παρακολουθοῦσης ἐν ὄχλῳ ὁμιλίας. ὀπάζων.] νῦν κατόπιν διώκων. ἡ γὰρ λέξις αὕτη πλείονα σημαίνει. ποτὲ μὲν τὸ περιποιεῖν καὶ διδόναι, ὡς ἐκεῖ· Τρωσὶ μὲν καὶ Ἕκτορι κῦδος ὀπάζει. ποτὲ δὲ τὸ καταφέρεσθαι· ὡς ἐν ἐκείνοις, χειμάρρους κατ' ὄρεσφιν ὀπαζόμενος Διὸς ὄμβρῳ. ποτὲ δὲ τὸ ἐπιλέγεσθαι, ὡς ἐκεῖ· ἢ καὶ νεώτερον υἱὸν ὀπάσσαιτο Κυδαλίμοιο. ποτὲ δὲ τὸ διώκειν ὡς ἐνθάδε. ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων ἄκρην οὔτασε χεῖρα.] ἐκ τοῦ σύνεγγυς ἄκραν τὴν χεῖρα αὐτῆς ἔτρωσε. μετάλμενος.] ἐφαλλόμενος. ἀβληχρήν.] ἀσθενῆ, ἁπαλήν. εἶθαρ.] εὐθέως, καὶ παραχρῆμα. ἀντετόρησε.] διῆλθε, διέτρησεν. ἀμβροσίου.] θείου. ὅν οἱ.] ὅνπερ αὐτῇ. κάμον.] ἔκαμον κατασκευάζουσαι. πρυμνόν.] τὸ ἔσχατον. ὑπὲρ θέναρος.] ὑπὲρ τὸ κοῖλον τῆς χειρός. λέγεται δὲ τὸ μεταξὺ τοῦ λιχανοῦ δακτύλου καὶ τοῦ μεγάλου. τὸ σαρκῶδες καὶ κοῖλον τῆς χειρός. ῥέεν.] ἔρρει, ἐφέρετο. ἄμβροτον.] θεῖον. οὗ οὐ μετέχουσιν οἱ ἄνθρωποι. ἰχώρ.] ὑγρασία τις διεφθαρμένης σαρκὸς ὕφαιμος. οἷος.] ὁποῖος. μακάρεσσι.] τοῖς μακαρισμοῦ ἀξίοις θεοῖς. οὐ γὰρ σῖτον ἔδουσιν.] οὐ διὰ τὸ μὴ ἄρτον αὐτοὺς ἐσθίειν μήτε οἶνον πίνειν θεοὶ ὑπάρχουσιν, ἀλλὰ διὰ τὸ ἀθανάτους εἶναι, τῶν τοιούτων βρωμάτων ἀπέχονται. οὐ γὰρ σῖτον ἔδουσι.] καὶ μὴν πολλὰ τῶν ζώων οὐ σῖτον ἔδουσιν, οὐκ οἶνον πίνουσι, καὶ οὔτε ἄναιμα, οὔτε ἀθάνατά ἐστι. τοίνυν προσυπακουστέον τὸ οὐκ ἔδουσι σῖτον ἀλλ' ἀμβροσίαν, οὐ πίνουσιν αἴθοπα οἶνον, ἀλλὰ νέκταρ. ἔδουσιν.] ἐσθίουσιν.

† μέγα

Τάων, ἃς ἐπέτελλε Βοὴν ἀγαθὸς Διομήδης.
Ἀλλ' ὅ γε, τοὺς μὲν ἑοὺς ἠρύκακε μώνυχας ἵππους
Νόσφιν ἀπὸ φλοίσβου, ἐξ ἄντυγος ἡνία τείνας.
Αἰνείαο δ' ἐπαΐξας, καλλίτριχας ἵππους
Ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Δῶκε δὲ Δηϊπύλῳ ἑτάρῳ φίλῳ, ὃν περὶ πάσης
Τίεν ὁμηλικίης, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη.
Νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν. αὐτὰρ ὅ γ' ἥρως
Ὧν ἵππων ἐπιβάς, ἔλαβ' ἡνία σιγαλόεντα.
Αἶψα δὲ Τυδείδην μέθεπε κρατερώνυχας ἵππους
Ἐμμεμαώς. ὁ δὲ Κύπριν ἐπῴχετο νηλέϊ χαλκῷ.
Γιγνώσκων ὅτ' ἄναλκις ἔην θεός. οὐδὲ θεάων,
Τάων, αἵ τ' ἀνδρῶν πόλεμον κατακοιρανέουσιν.
Οὔτ' ἄρ Ἀθηναίη, οὔτε πτολίπορθος Ἐνυώ.
Ἀλλ' ὅτε δή ῥ' ἐκίχανε πολὺν καθ' ὅμιλον ὀπάζων,
Ἔνθ' ἐπορεξάμενος μεγαθύμου Τυδέος υἱός,
Ἄκρην οὔτασε χεῖρα μετάλμενος ὀξέϊ χαλκῷ
Ἀβληχρήν. εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν
Ἀμβροσίου διὰ πέπλου, ὅν οἱ Χάριτες κάμον αὐταί,
Πρυμνὸν ὕπερ θέναρος. ῥέε δ' ἄμβροτον αἷμα θεοῖο
Ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι.
Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον.
Τοὔνεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται.
Ἡ δὲ μέγ' † ἰάχουσα, ἀπὸ ἕο κάββαλεν υἱόν.
Καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο Φοῖβος Ἀπόλλων
Κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων
Χαλκὸν ἐνὶ στήθεσσι βαλών, ἐκ θυμὸν ἕλοιτο.
Τῇ δ' ἐπὶ μακρὸν ἄϋσε Βοὴν ἀγαθὸς Διομήδης.
Εἶκε Διὸς θύγατερ πολέμου, καὶ δηϊοτῆτος
Ἦ οὐχ ἅλις, ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις;
Εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ' ὀΐω
Ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι.
Ὣς ἔφαθ'

αἴθοπα.] μέλανα. τοὔνεκα.] τούτου χάριν. ἀναίμονες.] ἄνευ αἵματος. ἀναίμονες μὲν, ἐπεὶ οὐ τρέφονται. ἀθάνατοι δὲ ὅτι ἀναίμονες. ὁ γὰρ θάνατος, ψύξει τοῦ θερμοῦ γίγνεται. ἰάχουσα.] βοήσασα, κράξασα. κάββαλε.] κατέβαλε. μετὰ χερσί.] διὰ τῶν ἑαυτοῦ χειρῶν. ἐρύσατο.] ἐφύλαξεν, ἔσωσε. κυανέῃ νεφέλῃ.] μελαίνῃ νεφέλῃ. λέγει δὲ τῇ ἀορασίᾳ. τῇ δ' ἐπί.] ἐπὶ ταύτῃ δέ. εἶκε.] ὑποχώρει. δηϊοτῆτος.] τῆς μάχης παρὰ τὸ ἐν αὐτῇ, πολλοὺς δηοῦσθαι, ὅ ἐστι κόπτεσθαι. ἦ οὐχ ἅλις.] ἦ οὐκ αὐτάρκες. ἀνάλκιδας.] ἀσθενεῖς. ἠπεροπεύεις.] ἀπατᾷς, διὰ τοῦ ἔρωτος εἰς τοὺς ἄνδρας. πωλήσεαι.] φοιτήσεις, παραγενήσῃ, ἢ ἀναστραφήσῃ. ῥιγήσειν.] φρίξειν, εὐλαβηθῆναι. ἑτέρωθι.] ἀλλαχόσε. πύθηαι.] ἀκούσῃς, γνῷς. ὁ δὲ λόγος.

ἰαὼ

ἐὰν πάλιν ἔλθῃς εἰς πόλεμον τοιαῦτα σε κακῶς διαθῶμαι, ὡς καὶ ἄλλοθί που πόλεμον ἀκούσασαν δειλαίνειν (?) ἐνθεῖναι. ἀλύουσα.] ἀδημονοῦσα. καὶ οἷον λύσιν μὴ εὑρίσκουσα τῶν κακῶν. αἰνῶς.] δεινῶς, χαλεπῶς. ἑλοῦσα.] λαβομένη. ποδήνεμος.] τοῖς ποσὶ ταχεῖα. ἔξαγ' ὁμίλου.] ἐξήγαγε τοῦ πλήθους. ἀχθομένην.] ὀδυνωμένην, βαρουμένην. ὀδύνῃσιν.] ὀδύναις. μελαίνετο δὲ χρόα καλόν.] μέλαν τὸ σῶμα αὐτῆς ἐγίγνετο, ὅ ἐστιν ἐπελιδνοῦτο τὸ καλὸν αὐτῆς σῶμα. ἐπ' ἀριστερά.] ἤτοι τὸ ἀριστερὸν τῆς μάχης μέρος. θοῦρον.] τὸν ὁρμητικὸν καὶ πολεμιστήν. ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω.] ἀντὶ τοῦ ὁμίχλῃ δὲ αὐτοῦ ἐκεκάλυπτο τὸ δόρυ καὶ οἱ ἵπποι. ὅ ἐστιν ἀόρατος ἦν. ἐκέκλιτο.] περιεκέκλιτο, περιέκειτο. καὶ ταχέ'.] ἀντὶ τοῦ οἱ ταχεῖς. γνύξ.] ἀντὶ τοῦ ἐπὶ γόνυ. ἐριποῦσα.] πεσοῦσα. χρυσάμπυκας.] χρυσοχαλίνους, ἀπὸ μέρους, ἢ χρυσοκόμους. κυρίως γὰρ ἄμπυξ καλεῖται σειρὰ κατάχρυσος ἡ ἀπὸ μετώπου τεινομένη. ἢ συνδοῦνται αἱ τρίχες. ᾔτεεν.] ᾔτει. φίλε.] προσφιλέστατε. κασίγνητε.] ἀδελφέ. ἐκκόμισαι.] ἐπιμελείας καταξίωσον. περίσωσον. ὅθεν ἱπποκόμοι, οἱ ἐπιμελούμενοι τῶν ἵππων. ἵνα.] ὅπου. ἕδος.] ἑδρασμα, κάθισμα, οἶκος. λίην.] λίαν, πάνυ. ἄχθομαι.] βαροῦμαι ὑπὸ τοῦ τραύματος. ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.] ὃς οὐκ ἂν ἀπόσχοιτο οὔτε τῆς πρὸς τὸν Δία μάχης. ἀκηχεμένη.] λυπουμένη. πὰρ δέ οἱ.] παρ' αὐτὴν δέ. λάζετο.] ἐλάμβανε. μάστιξεν.] ἔπληξεν. ἐλάαν.] ἐλαύνειν. αἰπύν.] ὑψηλόν. ποδήνεμος.] τοῖς ποσὶ ταχεῖα. οὐκ ἄκοντε.] οὐκ ἀπροθύμως ἀλλὰ προθύμως. πετέσθην.] ἔτρεχον. ὑπερβολικῶς. παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ.] παρέβαλε δὲ αὐτοῖς τὸ θεῖον ἔδεσμα, ὅ ἐστι τροφήν. ἀγκάς.] εἰς τὰς ἀγκάλας. ἐλάζετο.] ἐλάμβανε. θυγατέρα ἥν.] τὴν ἑαυτῆς θυγατέρα. τίς νύ σε.] τίς δή σε. τοιάδ' ἔρεξε.] τοιαῦτα εἰργάσατο, ἢ ἔδρασεν. οὐρανιώνων.] τῶν ἐν οὐρανῷ οἰκούντων θεῶν. ἢ ἀπὸ τοῦ οὐρανοῦ τὸ γένος ἐχόντων. μαψιδίως.] ματαίως. ῥέζουσαν.] πράττουσαν. ἐνωπῇ.] ἐν ὄψει, φανερῶς. οὖτα με.] ἔτρωσέ με. ὑπέρθυμος.] μεγαλόψυχος, γενναῖος. ὑπεξέφερον.] ὑπεκόμιζον, ἐξέφερον. ἐστιν.] ὑπάρχει. οὐ γὰρ ἔτι, Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή.] δεινὴ μάχη. προσληπτέον δὲ τὸ ἐστί. τέτλαθι.] καρτέρησον, ὑπόμεινον. ἀνάσχεο.] ἀνάσχου. κηδομένη περ.] καίπερ λυπουμένη. τλῆμεν.] ἐκαρτερήσαμεν, ὑπεμείναμεν. ἐξ ἀνδρῶν χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.] ὑπὸ ἀνθρώπων ἀλλήλους κακῶς πράσσοντες. τλῆ μὲν Ἄρης ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης.] ἐκαρτέρησε μὲν ὁ Ἄρης καὶ ὑπέμεινεν. Ὦτος δὲ καὶ Ἐφιάλτης, Ἀλωέως παῖδες, καὶ Ἰφιμεδείας. κατ' ἐπίκλησιν δὲ Ποσειδῶνος. μέγιστοι καὶ ἰσχυροὶ γενόμενοι, ἐπαυσαν τοὺς πολέμους. διὸ ἐμυθεύθη, ὅτι ἔδησαν τὸν Ἄρην. τλῆ μὲν Ἄρης.] Ἀρίσταρχος ἀξιοῖ τὰ φραζόμενα ὑπὸ τοῦ Ποιητοῦ μυθικώτερον ἐκδέχεσθαι κατὰ τὴν ποιητικὴν ἐξουσίαν. μηδὲν ἔξω τῶν φραζομένων

Ὣς ἔφαθ', ἣ δ' ἀλύουσ' ἀπεβήσατο, τείρετο δ' αἰνῶς,
Τὴν μὲν ἄρ' Ἶρις ἑλοῦσα ποδήνεμος, ἔξαγ' ὁμίλου,
Ἀχθομένην ὀδύνῃσι. μελαίνετο δὲ χρόα καλόν,
Εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα,
Ἥμενον. ἠέρι δ' ἔγχος ἐκέκλιτο, καὶ ταχέ' ἵππω,
Ἡ δὲ, γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο,
Πολλὰ λισσομένη, χρυσάμπυκας ᾔτεεν ἵππους.
Φίλε κασίγνητε ἐκκόμισαί τε με, δός δέ μοι ἵππους,
Ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστί.
Λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνὴρ
Τυδείδης, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο.
Ὣς φάτο. τῇ δ' Ἄρης δῶκε χρυσάμπυκας ἵππους.
Ἡ δ' ἐς δίφρον ἔβαινεν ἀκηχεμένη φίλον ἦτορ.
Πὰρ δέ οἱ Ἶρις ἔβαινε, καὶ ἡνία λάζετο χερσί.
Μάστιξεν δ' ἐλάαν. τὼ δ' οὐκ ἄκοντε πετέσθην.
Αἶψα δ' ἔπειθ' ἵκοντο θεῶν ἕδος αἰπὺν Ὄλυμπον,
Ἔνθ' ἵππους ἔστησε ποδήνεμος ὠκέα Ἶρις,
Λύσασ' ἐξ ὀχέων. παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ.
Ἡ δ' ἐν γούνασι πῖπτε Διώνης δῖ' Ἀφροδίτη
Μητρὸς ἑῆς. ἣ δ' ἀγκὰς ἐλάζετο θυγατέρα ἥν.
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.
Τίς νύ σε τοιάδ' ἔρεξε φίλον τέκος οὐρανιώνων
Μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;
Τὴν δ' ἠμείβετ' ἔπειτα φιλομμειδὴς Ἀφροδίτη.
Οὖτά με Τυδέος υἱὸς ὑπέρθυμος Διομήδης,
Οὕνεκ' ἐγὼ φίλον υἱὸν ὑπεξέφερον πολέμοιο
Αἰνείαν, ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν.
Οὐ γὰρ ἔτι Τρώων, καὶ Ἀχαιῶν φύλοπις αἰνή.
Ἀλλ' ἤδη Δαναοί γε, καὶ ἀθανάτοισι μάχονται.
Τὴν δ' ἠμείβετ' ἔπειτα Διώνη δῖα θεάων.
Τέτλαθι τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ.
Πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ' ἔχοντες
Ἐξ ἀνδρῶν, χαλέπ' ἄλγε' ἐπ' ἀλλήλοισι τιθέντες.
Τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος, κρατερός τ' Ἐφιάλτης,
Παῖδες

ζομένων ὑπὸ τοῦ Ποιητοῦ περιεργαζομένους. Ὦτος οὖν καὶ Ἐφιάλτης γόνῳ μὲν ἦσαν Ποσειδῶνος, ἐπίκλησιν δὲ Ἀλωέως. οὗτοι ὑπερφυεῖς κατὰ μέγεθος γενόμενοι, τὸν Ἄρην παρ' αὐτοῖς ἔδησαν. χρόνου δὲ διελθόντος, ἡ Ἐρίβοια μητρυιὰ μὲν τούτων, γυνὴ δὲ Ἀλωέως, ἔπεισε τὸν Ἑρμῆν ὅπως κλέψῃ τὸν Ἄρην, κἀκείνους αὐτοὺς ἀντὶ τῶν δεσμῶν εἰσπράξηται τιμωρίαν. ὁ δὲ πεισθεὶς, τοῦτο ἐποίησεν. οἱ δὲ οὐδὲ τότε τῆς ὑπερηφανοῦς ἀδικίας ἐπαύσαντο, ἀλλὰ Ἥραν καὶ Ἄρτεμιν ἐπείραζον. ἀγανακτήσασα δὲ Ἄρτεμις κυνηγετοῦσιν αὐτοῖς, ἔπεμψεν ἔλαφον, ἥ τις μεταξὺ τῶν δύο ἐσελθοῦσα, παραιτία τελευτῆς αὐτοῖς ἐγένετο. προϊέμενοι γὰρ ὡς ἐπ' αὐτὴν τὰ δόρατα ἀμφότεροι, τῆς μὲν ἀπέτυχον, ἀλλήλους δὲ πλήξαντες, ἀπέθανον. ἄλλοι δὲ πιθανώτερον ἐξηγούμενοι τὰ Ὁμήρου, τοὺς Ἀλωάδας τούτους φασὶ γενέσθαι βασιλεῖς τῆς Ἑλλάδος. πολλῆς δὲ καὶ βαρβάρου γῆς ἐπικρατήσαντας, καταπαῦσαι τὸν πόλεμον, καὶ τὰς εἰς αὐτὸν παρασκευάς. καὶ ἐν εἰρήνῃ ποιῆσαι βιοτεύειν τοὺς ἀνθρώπους, διὰ τοῦτο ἔδοξαν δῆσαι τὸν Ἄρην, τουτέστι τὸν πόλεμον. οἱ νεώτεροι δὲ ἱστοροῦσι ποιηταὶ, μόνον τὸν Ἄρην ἀπολειφθέντα τῶν ἄλλων θεῶν ἐν τοῖς Ὑπερβορείοις μέρεσι συλληφθῆναι, καὶ συνδεθῆναι ὑπὸ τῶν Ἀλωαδῶν, καὶ διατεθῆναι εἰς Κέραμον πόλιν τῆς Καρίας. καὶ ἐνταῦθα βασανισθῆναι μησὶ τρισκαίδεκα. μέχρις οὗ ἡ Ἐρίβοια ἡ τῶν Ἀλωαδῶν μητρυιὰ, ἐμήνυσε τῷ Ἑρμῇ. ὁ δὲ ἐξέκλεψεν αὐτόν.

Παῖδες Ἀλωῆος δῆσαν κρατερῷ ἐνὶ δεσμῷ,
Χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας.
Καί νύ κεν ἔνθ' ἀπόλοιτο Ἄρης ἆτος πολέμοιο,
Εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια,
Ἑρμέᾳ ἐξήγγειλεν, ὁ δ' ἐξέκλεψεν Ἄρηα
Ἤδη τειρόμενον, χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα.
Τλῆ δ' Ἥρη, ὅτε μιν κρατερὸς πάϊς Ἀμφιτρύωνος
Δεξιτερόν

οἱ δέ φασιν ἐν τῇ δὲ τῇ ἱστορίᾳ περὶ τῶν μετεώρων διαλέγεσθαι τὸν Ὅμηρον μαθηματικὸν ὄντα. ἐπεὶ γὰρ ὁ Ἄρεος ἀστὴρ ὁ Σιδήρεος καλούμενος ἐν τῷ Λέοντι γιγνόμενος, δεκατρεῖς μησὶ στηρίζει, κατὰ τοῦτο λέγειν τὸν Ποιητήν. χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας, τῷ πλείονι ἀριθμῷ χρησάμενον διὰ τὸ ἄστρον. χάλκεον δὲ πίθον λέγει τὸν Λέοντα. ἐν γὰρ τῷ ζῳδίῳ τούτῳ γενόμενος ὁ ἥλιος, ἐξοπτᾷ ποιεῖ καὶ μεγάλα καύματα. ὡς φησὶ καὶ Ἄρατος. ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι. Αἱ δέ που ἀσταχύων κενεαὶ φαίνονται ἄρουραι. Ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι. βέλτιον λέγειν δὲ, ὅτι φιλοσοφεῖν βούλεται διὰ τῆς δὲ τῆς ῥαψῳδίας. ὡς καὶ δι' ὅλης τῆς ποιήσεως. Ἄρην οὖν ὀνομάζει τὸν θυμὸν, Ὦτον δὲ καὶ Ἐφιάλτην, τοὺς ἐν παιδείᾳ λόγους. τούτων † γὰρ ὁ μέν τις ἐκ μαθήσεως καὶ διδασκαλίας κινεῖται· ὁ δὲ ἕτερός ἐστιν ἐνδιάθετος καὶ ἐκ φύσεως παρεπόμενος τοῖς ἀνθρώποις. τὸν μὲν οὖν διὰ τῆς μαθήσεως διδασκόμενον λόγον, Ὦτον προσηγόρευσεν. ὅτι διὰ τῶν ὤτων αὐτὸν καὶ τῆς ἀκοῆς ἐκμανθάνομεν παιδευόμενοι. τὸν δὲ ἐνδιάθετον καὶ ἐκ φύσεως παρεπόμενον τοῖς ἀνθρώποις, Ἐφιάλτην ὠνόμασεν· οἷον τὸν αὐτομάτως ἐφαλλόμενον, ἤτοι οὖν ἐπερχόμενον ταῖς διανοίαις ἡμῶν. ὑπὸ τούτων δὲ ἀμφοτέρων φησὶ δεθῆναι τὸν Ἄρην, τουτέστι τὸν θυμὸν, καὶ ὧδε πολὺ βασανισθῆναι. ἐπειδὴ οἱ ἐν παιδείᾳ λόγοι ἐκπαιδεύουσι καὶ διδάσκουσι τοὺς ἀνθρώπους, κατέχειν μὲν τὴν ὀργὴν καὶ ἐπιθυμίαν, ἥκιστα δὲ θυμῷ χρῆσθαι. ὅπερ φησὶν Ὅμηρος. κατέχεσθαι μὲν τὸν θυμὸν ὧδε τῶν λόγων τούτων, ἐπεὶ πάντοτε οἱ τῆς παιδείας λόγοι, ἐκπαιδεύουσι καὶ ἀναγκάζουσι τοὺς ἀνθρώπους μετὰ γνώμης ἅπαντα πράττειν. καὶ μὴ πολλάκις ὀργῇ χρωμένους κατὰ τῶν φίλων ἀνήκεστόν τι πράττειν. ἐκδιδάσκουσι δὲ καὶ ὃν τρόπον δεῖ γονέων ἐπιμελεῖσθαι καὶ φίλων καὶ ἀδελφῶν κήδεσθαι καὶ τῶν ἄλλων ἁπάντων. αὖθις δὲ λυθῆναι αὐτὸν ὑπὸ Ἑρμοῦ ἢ Ἐριβοίας τοῦτο μηνυούσης. Ἑρμῆν πάλιν ὀνομάζων τὸν λόγον. ὅτι ἑρμηνεὺς γίγνεται πάντων ὁ λόγος. Ἐρίβοιαν δὲ ὀνομάζει τὴν στάσιν παρὰ τὸ μεγίστῃ φωνῇ χρῆσθαι τὰ στασιάζοντα πλήθη ἐν ταῖς πόλεσιν. ἐπειδὴ πολλάκις ὁ λόγος ἐξουσίαν δίδωσι τῷ θυμῷ χρῆσθαι τῇ οἰκείᾳ ῥώμῃ. ὅτ' ἂν ὑπὲρ πατρίδος δέοι καὶ ὑπὲρ παίδων, καὶ γονέων, καὶ κτημάτων, καὶ πολιτείας πρὸς πολεμίους ἀγωνίζεσθαι. τότε γὰρ ὁ λόγος οὐκ ἔτι κατέχει τὸν θυμόν. οὐδὲ εἴργει χρῆσθαι τῇ οἰκείᾳ δυνάμει. ἀλλὰ τοὐναντίον αὐτὸν παρακελεύεται καὶ προτρέπεται χρῆσθαι κατὰ τῶν μὴ οἰκείων. μᾶλλον δὲ τῶν ἐχθίστων. ἵνα μὴ ὑπὸ τῶν πολεμίων ληφθέντες κακῶς πάθωμεν. Ἀλωῆος.] Ἀλωέως. κρατερῷ.] ἰσχυρῷ. χαλκέῳ δ' ἐν κεράμῳ.] χαλκῷ ἀγγείῳ, πίθῳ, ἢ δεσμωτηρίῳ, οἱ γὰρ Κύπριοι τὸ δεσμωτήριον κέραμον καλοῦσι.

καί νύ κε.] καὶ δὴ ἄν. ἔνθα.] τότε. ἆτος πολέμοιο.] ὁ ἀπλήρωτος καὶ ἀκόρεστος τοῦ πολέμου. εἰ μὴ μητρυιή.] ἐὰν μὴ ἡ τοῦ Ἑρμοῦ μητρυιὰ ἡ Ἐρίβοια ἀπήγγειλε τῷ Ἑρμῇ, ἵνα ἐκκλέψῃ τὸν Ἄρην τοῦ δεσμοῦ. Ἐρίβοια δὲ ἡ ἄγαν καὶ μεγάλα βοῶσα. Ἀντίμαχος δὲ ὁ Κολοφώνιος τὴν Ἐρίβοιαν μητρυιὰν Ὤτου καὶ Ἐφιάλτου παραδίδωσι. περικαλλής.] πάνυ καλή. ἐξήγγειλε.] παρεκάλεσεν, ἐδεήθη. ἤδη.] εὐθέως, ἐπίρρημα χρόνου δηλωτικόν. τειρόμενον.] καταπονούμενον. ἑ.] αὐτόν. ἐδάμνα.] ἐδάμαζε, κατεπόνει. τλῆ δ' Ἥρη.] ἐκαρτέρησε δὲ καὶ ἡ Ἥρα. πάϊς Ἀμφιτρύωνος ὁ Ἡρακλῆς, ἑκατέραις γὰρ γενεαλογίαις καλεῖ αὐτὸν ὁ Ποιητής, ὁτὲ μὲν, Διὸς υἱὸν λέγων, ὁτὲ δὲ Ἀμφιτρύωνος.

τλῆ δ' Ἥρη.] Εὔρυτος ὁ Οἰχαλίας τῆς ἐν Βοιωτίᾳ βασιλεὺς προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον, τῷ κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένῳ. ἢ ὥς τινες. τοὺς παῖδας. παρὰ γὰρ Ἀπόλλωνος ἔληφε τὴν τοξικήν. Ἡρακλέους δὲ διαγωνισαμένου ἀγανακτήσας ὁ Εὔρυτος οὐκ ἀπεδίδου τὴν κόρην. ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, τὴν δὲ Ἰόλην αἰχμάλωτον ἤγαγεν. οὐδὲ τῆς ὀργῆς ἐπαύσατο. ἀλλὰ καὶ Ἴφιτον τὸν Εὐρύτου, εἰς Τίρυνθα παραγενόμενον, ἐπὶ ζήτησιν ἵππων, ξενίσας, ἀπέκτεινε. φεύγων δὲ τὸ τοῦ φόνου μύσος, παρεγένετο πρὸς Νηλέα καθαρσίως τευξόμενος. τῶν δὲ παίδων αὐτοῦ μὴ βουλομένων ὑποδέξασθαι, ὁ Νηλεὺς ἐξέβαλεν αὐτόν. Ἡρακλῆς δὲ ἐκεῖθεν χωρισθεὶς, ἐπεξενώθη Δηϊφόβῳ τῷ τῶν Ἀρκάδων βασιλεῖ, καὶ οὕτως ἐκαθάρθη τοῦ φόνου.

καὶ ὕστερον

† τούτων

καὶ ὕστερον ἐπιστρατεύσας Νηλεῖ, οὐ μόνον τὴν Πύλον ἐπόρθησεν, ἀλλὰ καὶ Ἥραν, Νηλεῖ συμμαχοῦσαν ἔτρωσεν, αὐτόν τε Νηλέα τοῖς παισὶν ἅμα κτείνει, δίχα τοῦ νεωτέρου Νέστορος. οὗτος γὰρ ἐν Γερήνοις ἀνετρέφετο, διόπερ ἐσώθη, ὅθεν αὐτὸν Γερήνιον ὁ Ποιητὴς προσηγόρευσε. δεξιτερὸν κατὰ μαζόν.] κατὰ τὸν δεξιὸν μαζόν. τριγλώχινι.] τρεῖς ἀκίδας ἔχοντι, τριγώνῳ. βεβλήκει.] ἀντὶ τοῦ ἔβαλε. τότε κέν μιν.] τότε αὖ αὐτήν. ἀνήκεστον.] ἀνίατον, ἀθεράπευτον. ἄλγος.] κακόν. ἀΐδης.] ᾅδης. πελώριος.] μέγας. ωὐτός.] ὁ αὐτὸς ἀνήρ. δισυλλάβως δὲ ἀναγνωστέον. υἱὸς Διὸς Αἰγιόχοιο.] ὁ Ἡρακλῆς.

Δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι
Βεβλήκει, τότε κέν μιν ἀνήκεστον λάβεν ἄλγος.
Τλῆ δ' ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν,
Εὖτέ μιν ωὐτὸς ἀνὴρ υἱὸς Διὸς Αἰγιόχοιο,
Ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν,
Αὐτὰρ ὁ βῆ πρὸς δῶμα Διὸς, καὶ μακρὸν Ὄλυμπον,
Κῆρ ἀχέων ὀδύνῃσι πεπαρμένος, αὐτὰρ ὀϊστὸς,
Ὤμῳ ἐνὶ στιβαρῷ ἠλήλατο. κῆδε δὲ θυμόν.
Τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων,
Ἠκέσατ'. οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο
Σχέτλιος, ὀβριμοεργὸς, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων,
Ὃς τόξοισιν ἔκηδε θεοὺς, οἳ Ὄλυμπον ἔχουσιν,
Σοὶ δ' ἐπὶ τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
Νήπιος οὐδὲ τὸ οἶδε κατὰ φρένα Τυδέος υἱός,
Ὅττι μάλ' οὐ δηναιὸς, ὃς ἀθανάτοισι μάχοιτο.
Οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν
Ἐλθόντ' ἐκ πολέμοιο. καὶ αἰνῆς δηϊοτῆτος,
Τῷ νῦν Τυδείδης, εἰ καὶ μάλα καρτερός ἐστι,
Φραζέσθω, μήτις οἱ ἀμείνων σεῖο μάχηται,
Μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη,
Ἐξ ὕπνου γοόωσα φίλους οἰκῆας ἐγείρῃ.
Κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν,
Ἰφθίμη ἄλοχος Διομήδεος ἱπποδάμοιο.
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἀπ' ἰχῶρ χειρὸς ὀμόργνυ,
Ἄλθετο χείρ. ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι,
Αἱ δ' αὖτ' εἰσορόωσαι Ἀθηναίη τε, καὶ Ἥρη,

Κερτομίοις

ἐν Πύλῳ ἐν νεκύεσσι.] ὁ μὲν Ἀρίσταρχος τὴν Πύλον ἀκούει κατὰ μεταπλασμὸν, ἀντὶ τοῦ Πύλην ὡς ἀπὸ τοῦ πολύαρνι πολυάρνῳ, καὶ τὸ ἐν νεκύεσσι. κυρίως ἀκούει ἔνθα αἱ τῶν τελευτόντων ἀναχωροῦσι ψυχαί. ἐν Πύλῳ ἐν νεκύεσσι.] ἀντὶ τοῦ ἐν Πύλῃ πρὸς τῇ Πύλῃ, οὐ γὰρ ἐν τῇ Πύλῃ τῶν Πυλίων λέγει, ἀλλ' ἐν τῇ Πύλῃ τῶν νεκρῶν. κατὰ τὴν τοῦ Κερβέρου ἀναγωγήν. ὀδύνῃσιν ἔδωκεν.] εἰς ὀδύνας ἔδωκε λυπούμενον. πεπαρμένος.] διαπεπερονημένος. ἠλήλατο.] ἐνελήλατο, ἐνήρειστο, ὑπέκειτο. κῆδε.] ἐλύπει, ἠνία, ἐκάκου. Παιήων.] ὁ τῶν θεῶν ἰατρός. ὀδυνήφατα.] τὰς ὀδύνας καταπαύοντα καὶ φθείροντα. πάσσων.] ἐπιβάλλων. ἠκέσατο.] ἐθεράπευε. σχέτλιος.] ἀγνώμων, ἄδικος. ὀβριμοεργός.] μεγάλοις ἔργοις ἐπιτιθέμενος καὶ ἰσχυρὰ διαπραττόμενος. ἰσχυροπράγμων. ἰσχυρὸς ἐν τῷ ἐργάζεσθαι. ἰσχυρὰ ἐργαζόμενος. οὐκ ὄθετο.] οὐκ ἐπεστρέφετο. αἴσυλα.] ἁμαρτωλά. παράνομα. ὁ δὲ Ἀππίων ἐτυμολογῶν τὴν λέξιν φησὶ τὰ σεσυλημένα τῆς αἴσης. τουτέστιν ἁμαρτωλά. βέλτιον δὲ τὸ μὴ δοκεῖν ἐγκεῖσθαι τὰ σεσυλημένα. οὐκ ἔτι γὰρ ἡ αἶσα φανήσεται ἐγκειμένη. ἔστιν οὖν αἴσυλα κατὰ παράλειψιν ἑτέρου α̅ δηλοῦντος ἠρημένην, ἀαίσυλα. ἐστερημένα τῆς αἴσης τουτέστι τοῦ καθήκοντος. ἔκηδε.] ἐκάκου. ἐλύπει, κατεπόνει. ἀνῆκεν.] ἀνέπεισε.

νήπιος.] ἄφρων. δηναιός.] πολυχρόνιος. γούνασι.] γόνασιν. παππάζουσι.] πάππα φωνοῦσι πατέρα καλοῦσιν. ἐτυμολογεῖ τὰς τῶν παίδων φωνάς. Αἰγιάλεια.] γυνὴ Διομήδους. περίφρων.] περισσόφρων. ἄγαν συνετή, περισσῶς φρονοῦσα. Ἀδρηστίνη.] ἡ Ἀδράστου θυγάτηρ. μὴ δὴν, Αἰγιάλεια περίφρων Ἀδρηστίνη.] Διομήδους γυνὴ Αἰγιάλεια ἡ νεωτάτη τῶν Ἀδράστου θυγατέρων. τρεῖς γὰρ ἔσχε θυγατέρας ὁ Ἄδραστος ταύτην καὶ Ἀργείαν τὴν Πολυνείκους. καὶ Δηϊπύλην τὴν Τυδέως. τῆς οὖν μητρὸς αὐτοῦ ἀδελφὴ ἦν. ὁ δὲ στρατεύσας εἰς Ἴλιον, κατέλιπε τῆς ἀρχῆς καὶ τῆς οἰκίας ἐπίτροπον τὸν Σθενέλου Κομήτην. κατέχει δὲ ὁ λόγος τρωθεῖσαν τὴν Ἀφροδίτην ὑπὸ Διομήδους, αὐτῷ μὲν μὴ μνησικακῆσαι διὰ τὴν τῆς Ἀθηνᾶς ἐπικουρίαν. τὴν δὲ τούτου γυναῖκα ἐκμῆναι περὶ πορνείαν ὡς περὶ πᾶσαν τὴν τῶν νέων ἡλικίαν συγκερσύειν ἀσελγήνασαν. τῷ δὲ Κομήτῃ καὶ ἔρωτα τῆς Αἰγιαλείας ἐμποιῆσαι. παραγενόμενον δὲ τὸν Διομήδην ἐξ Ἰλίου, διώκειν μετὰ δορυφόρων, ἀποκτεῖναι βουλόμενον, τὸν δὲ λοιπὸν τοῖς ἀσθενέσι βοηθήμασι χρώμενον, καταφυγεῖν ἐπὶ τὸν Ἥρας βωμόν. μετὰ ταῦτα δὲ ἀπῆρεν εἰς Ἑσπερίαν, καὶ παραλαβεῖν λέγεται παρὰ † Δαύνου τινὰς εἰς κατοικισμόν. καὶ τέλος, ἀποστάντων αὐτοῦ τῶν ἑταίρων καὶ λιμωττόντων, τούτους μὲν τὴν Ἀθηνᾶν εἰς ἐρωδιοὺς ἀπορνιῶσαι. τὸν Διομήδην δὲ ἐνταῦθα καταστρέψαι τὸν βίον. ἡ δὲ ἱστορία παρὰ Λυκόφρονι. ταύτην δὲ τὴν ἱστορίαν ὁ Ποιητὴς οὐ λέγει. ἀλλὰ τοῦτο λέγει, μὴ μαχεσθέντος αὐτῷ τινὸς τῶν ἰσχυροτέρων θεῶν ἀποθάνῃ, εἶτα τὸν θάνατον αὐτοῦ ἡ γυνὴ μαθοῦσα, ἅμα τοῖς οἰκείοις αὐτοῦ θρηνήσει. γοόωσα.] θρηνοῦσα. οἰκῆας.] οἰκείους, οἰκέτας. ἐγείρῃ.] διυπνίσῃ. κουρίδιον.] τὸν ἐκ παρθενίας ἄνδρα γεγαμηκότα αὐτήν. ποθέουσα.] ποθοῦσα. ἰχῶρ.] ἰχῶρα. λέγει δὲ θεῖον αἷμα, ἡ ὑγρὰ θεῶν οὐσία ἰχὼρ καλεῖται. ἀπ' ὀμόργνυ.] ἀπέψα, ἀπέμασσεν. ἄλθετο.] ἐθεραπεύετο, ἀφυγιάζετο, ὑγιὴς ἐγίγνετο. κατηπιόωντο.] κατεπραΰνοντο.

† τόπους τινάς

κερτομίοις.

Κερτομίοις ἐπέεσσι Δία Κρονίδην ἐρέθιζον,
Τοῖσι δὲ μύθων ἦρχε θεὰ γλαυκῶπις Ἀθήνη.
Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι ὅττι κεν εἴπω;
Ἦ μάλα δή τινα Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα,
Τρωσὶν ἅμ' ἑσπέσθαι, τοὺς νῦν ἔκπαγλ' ἐφίλησε,
Τῶν τινα καῤῥέζουσα Ἀχαιϊάδων ἐϋπέπλων,
Πρὸς χρυσῇ περόνῃ καταμύξατο χεῖρα ἀραιήν.
Ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
Καί ῥα καλεσσάμενος προσέφη χρυσῆν Ἀφροδίτην,
Οὔτοι τέκνον ἐμὸν δέδοται πολεμήϊα ἔργα,
Ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο,
Ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει.
Ὣς οἱ μὲν, τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἰνείᾳ δ' ἐπόρουσε βοὴν ἀγαθὸς Διομήδης,
Γιγνώσκων δ' οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων,
Ἀλλ' ὅ γ' ἄρ' οὐδὲ θεὸν μέγαν ἅζετο. ἵετο δ' αἰεί,
Αἰνείαν κτεῖναι, καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι,
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε κατακτάμεναι μενεαίνων,
Τρὶς δέ οἱ ἐστυφέλιξε φαεινὴν ἀσπίδ' Ἀπόλλων,

Ἀλλ' ὅτε

κερτομίοις.] ὑβριστικοῖς. ἐρέθιζον.] παρώξυνον, ἐκίνουν. κεχολώσεαι.] ὀργισθήσῃ. Κύπρις.] τὸ ἐπίθετον Ἀφροδίτης. ὃ οὐκ ἐνόησαν οἱ πρὸ ἡμῶν τί σημαίνει. συμπλανηθέντες γὰρ τῷ Ἡσιόδῳ, ἔδοξαν ὅτι Κύπρις λέγεται ὥς φησιν Ἡσίοδος Κυπρογένεια, διότι γεννᾶται περικλύστῳ ἐνὶ Κύπρῳ. ὥσπερ καὶ τὴν φιλομμειδῆ, ὅτι μηδέων ἐξεφαάνθη. Ὅμηρος δ' οὐκ εἶπεν οὕτως. ἀλλὰ τὴν μειδιάματα φιλοῦσαν. οἷον ἱλαράν. διὰ τὴν ἐγκειμένην αὐτῇ δύναμιν ἀπὸ τῆς συνουσίας. ὥσπερ οὖν τὸ πῦρ Ἥφαιστον λέγει ὁμωνύμως τῷ εὑρόντι, οὕτω καὶ Ἀφροδίτην ποτὲ τὴν πρὸς ἄνδρας γυναῖκα συνουσίαν, ἡνίκα ἂν περὶ τῶν μνηστήρων λέγῃ, καὶ ἐκλελάθοντ' Ἀφροδίτης, ἣν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον. μίσγοντο δὲ λάθρῃ. τὸ οὖν ἐπίθετον τὸ διὰ τοῦ Κύπρις σημαινόμενον ἀπὸ τῆς περὶ αὐτὴν δυνάμεως Ὁμήρῳ παρείληπται. ἔστιν οὖν κατὰ συγκοπὴν Κύπρις, οἱονεὶ κυόπορις, ἡ τὸ κύειν πορίζουσα. ἴδιον γὰρ Ἀφροδίτης τοῦτο. οὐ γὰρ κυΐσκουσιν αἱ γυναῖκες χωρὶς τῆς ἀφροδισιαστικῆς συνηθείας. τὸ δὲ πλανῆσαν τὸν Ἡσίοδον καὶ τοὺς ἄλλους ἐστὶ τὸ ἐν τῇ θ΄. ῥαψῳδίᾳ λεγόμενον. ἡ δ' ἄρα Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη ἐς Πάφον. ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις. οὐκ εἴ τις δ' ἔν τινι τόπῳ γεγένηται, καὶ τετίμηται ἐκεῖθεν, καὶ διὰ τούτου τῷ ἐπιθέτῳ κοσμεῖται. οὐδέ ποτε γοῦν Δήλιος ὁ Ἀπόλλων παρ' Ὁμήρῳ. οὐδὲ Πύθιος. καί τοι γε, καὶ ἑκάτερον τῶν ἱερῶν οἶδε. δι' ὧν φησι ποτὲ μὲν, Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα. ποτὲ δὲ, οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει, Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ. οὐδ' ἐπειδή φησιν, ἵκετο δ' εἰς Αἰγάς, ἔνθι οἱ κλυτὰ δώματ' ἔασιν, Αἰγαῖος ποτὲ εἴρηται ὁ Ποσειδῶν παρ' Ὁμήρῳ. καὶ ἡ Κυθέρεια δὲ καθ' Ὅμηρον, οὐχ ὅτι προσέκυρσε Κυθήροις. οἶδε μὲν γὰρ τὰ Κύθηρα. οὐκ ἀπὸ τούτου δὲ εἴρηται. Κυθέρεια δὲ, ἡ κευθόμενον ἔχουσα ἐν ἑαυτῇ, τὸν πάσαις τῆς ἐρωτικῆς φιλίας ἐξηρτημένον ἱμάντα, οἷον τὸν ἔρωτα, ὃν πᾶσι τοῖς νέοις ἀφίησι. διὰ γὰρ τοῦ κεστοῦ ταῦτα παρίεται. ἔνθ' ἔνι μὲν φιλότης. ἐν δ' ἵμερος. ἐν δ' ὀαριστὺς. πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων. ἐπεί τοι καὶ Ἀλαλκομενηῒς Ἀθήνη παρὰ τοῖς εὖ λογιζομένοις, ἀπὸ τῆς ἐνεργείας ἡ ἀπαλαλκοῦσα τῷ ἰδίῳ μένει τοὺς ἐναντίους. οὐ γὰρ πειθόμεθα τοῖς νεωτέροις, οἵ φασιν ἀπὸ Ἀλαλκομενοῦ τινὸς εἰρῆσθαι. οὐδ' ὡς Ἐρατοσθένης παρήκουσεν Ὁμήρου εἰπόντος, Ἑρμείας ἀκάκητα. ὁ ἀπὸ Ἀκακήτου ὄρους, ἀλλὰ ὁ μηδενὸς κακοῦ μεταδοτικός. ἐπεὶ καὶ δωτὴρ ἐάων. πάντ' οὖν ἀπὸ τῶν παρεπομένων τοῖς θεοῖς. καὶ γὰρ ἡ Γλαυκῶπις οὐκ ἀπὸ τοῦ, ἥτ' ἄκρης θῖνα γλαυκώπιον ἵζει. ἀλλ' ἀπὸ τῆς περὶ τὴν πρόσοψιν τῶν ὀφθαλμῶν καταπλήξεως. κατ' ἄλλα δὲ τῶν ἐπιθέτων ἐπεῦσιν ἡμῖν πολλά ἐστιν ὁρᾶν, οὐκ ἀπὸ τῶν ἱερῶν τόπων ὠνομασμένα. ἀπὸ δὲ τῶν ἐνεργειῶν τῶν ψυχικῶν. ἢ νὴ Δία συμβεβηκότων περὶ τὸ σῶμα. ὡς λευκώλενος Ἥρη. καὶ ἀργυρόπεζα Θέτις. καὶ Φοῖβος Ἀπόλλων καὶ ἀκερσεκόμης. καὶ πάλιν ἀπὸ πράξεων ὡς ἕκατος, καὶ ἑκατηβελέτης. καὶ ἑκηβόλος. Ἄρτεμις δὲ καὶ ἀγροτέρη καὶ ἰοχέαιρα, καὶ πάντα τὰ παραπλήσια. καὶ γὰρ εἰ σπανίως Ἑλικώνιον τὸν Ποσειδῶνα εἴρηκεν, ἀπὸ Ἑλικῶνος ὡς Ἀρίσταρχος βούλεται. ἐπεὶ ἡ Βοιωτία ὅλη ἱερὰ Ποσειδῶνος. οὐ γὰρ ἀρέσκει ἀπὸ Ἑλίκης ἐπεί φησιν, οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσιν, Ἑλικήϊον γὰρ ἂν εἶπε συγχωροῦντος τοῦ μέτρου. δύναται Ἑλικώνιος λέγεσθαι, διὰ τὸ ἕλικας καὶ περιφερεῖς εἶναι τὰς δίνας τῆς θαλάσσης. ἔτι δ' εἴπερ ἦν ἡ Κύπρις ἀπὸ τῆς Κύπρου, πολλῷ μᾶλλον ἀπὸ τῆς Πάφου ἐν ᾗ βωμός τε θυήεις αὐτῆς, Παφίη ἐλέγετο. ἀλλ' οὐδέ ποτε Παφίην εἶπε τὴν Ἀφροδίτην Ὅμηρος, ὡς οἱ νεώτεροι. καὶ γὰρ εἴ ποτε σπανίως ἐπίθετα ἐξενήνοχε τοπικά, ἐξ ἡρωϊκοῦ προσώπου κατὰ τὸ εἰκὸς αὐτὰ λέγει. Ἀχιλλεὺς μὲν γὰρ Θεσσαλὸς ὤν, φησί. Ζεῦ ἄνα Δωδωναῖε Πελασγικὲ τηλόθι ναίων, καὶ Ἑκάβη. Ἀλλ' εὔχεο σύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι, Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται. ἡ γὰρ Ἴδη τῆς Τροίας, οἰκείως τε ἡ Ἑκάβη ἔσχηκε παρωνομάσαι τὸν Δία Ἰδαῖον. οὐδ' Ὅμηρος οὐκ ἂν εἴποι ἀπὸ τῆς Κύπρου τὸ ἐπίθετον ἐξ ἰδίου προσώπου λέγων. ὁ δὲ Κύπριν ἐπῴχετο νηλέϊ χαλκῷ. Ἀχαιϊάδων.] τῶν Ἑλληνίδων γυναικῶν. ἀνιεῖσα.] ἀναπείθουσα. ἑσπέσθαι.] ἀκολουθῆσαι. ἔκπαγλα.] ἐξόχως. καῤῥέζουσα.] καταρρέζουσα. πλησίον παρακαθίζουσα, καταψῶσα τῇ χειρί. ἐϋπέπλων.] ἐστολισμένων, εὐστόλων. περόνῃ.] πόρπῃ ἐν τῇ περιβολῇ. καταμύξατο.] κατεξέσθη. ἀραιήν.] ἀσθενῆ. σημαίνει δὲ καὶ λεπτήν. χρυσῆν Ἀφροδίτην.] καλὴν λέγει νῦν. οὔ τοι.] οὔ σοι. οὐδαμῶς σοι. ἱμερόεντα.] ἐπέραστα, θαυμαστά. ἐπόρουσεν.] ἐφώρμησεν. ὑπείρεχεν.] ὑπερεῖχε, προεβέβλητο, ὑπερεμάχετο. ἅζετο.] ἐσέβετο. ἵετο.] προεθυμεῖτο. δῦσαι.] ἀπεκδῦσαι. ἐστυφέλιξε.] διέσεισε, διεκίνησε. φαεινήν.]

Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας, προσέφη ἑκάεργος Ἀπόλλων·
Φράζεο Τυδείδη, καὶ χάζεο, μηδὲ θεοῖσιν
Ἶσ' ἔθελε φρονέειν, ἐπεὶ οὔποτε φῦλον ὁμοῖον
Ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων.
Ὣς φάτο, Τυδείδης δ' ἀνεχάζετο τυτθὸν ὀπίσσω
Μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
Αἰνείαν δ' ἀπάτερθεν ὁμίλου θῆκεν Ἀπόλλων
Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηός γ' ἐτέτυκτο.
Ἤτοι τὸν Λητώ τε, καὶ Ἄρτεμις ἰοχέαιρα,
Ἐν μεγάλῳ ἀδύτῳ ἀκέοντό τε, κύδαινόν τε.
Αὐτὰρ ὁ, εἴδωλον τεῦξ' ἀργυρότοξος Ἀπόλλων
Αὐτῷ τ' Αἰνείᾳ ἴκελον καὶ τεύχεσι τοῖον.
Ἀμφὶ δ' ἄρ' εἰδώλῳ Τρῶες, καὶ δῖοι Ἀχαιοὶ,
Δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας,
Ἀσπίδας εὐκύκλους, λαισήιά τε πτερόεντα.
Δὴ τότε θοῦρον Ἄρηα προσηύδα Φοῖβος Ἀπόλλων.
Ἆρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα,
Οὐκ ἂν δὴ τόνδ' ἄνδρα μάχης ἐρύσαιο μετελθὼν
Τυδείδην, ὃς νῦν γε καὶ ἂν Διὶ πατρὶ μάχοιτο;
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ.
Αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος.
Ὣς εἰπὼν, † αὐτὸς ἐφέζετο Περγάμῳ ἄκρῃ. τὸ μὲν
Τρῶας δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθὼν,
Εἰδόμενος Ἀκάμαντι θοῷ ἡγήτορι Θρηκῶν.
Υἱάσι δὲ Πριάμοιο διοτρεφέεσι κέλευεν.
Ὦ υἱεῖς Πριάμοιο διοτρεφέος βασιλῆος,
Ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαὸν Ἀχαιοῖς;
Ἢ εἰσόκεν ἀμφὶ πύλῃς εὖ ποιητῆσι μάχωνται,
Κεῖται ἀνὴρ, ὃν ἶσον ἐτίομεν Ἕκτορι δίῳ,
Αἰνείας, υἱὸς μεγαλήτορος Ἀγχίσαο.
Ἀλλ' ἄγετ' ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον,
Ὣς εἰπὼν, ὄτρυνε μένος, καὶ θυμὸν ἑκάστου.
Ἔνθ' αὖ Σαρπηδὼν μάλα νείκεσεν Ἕκτορα δῖον.
Ἕκτορ, πῇ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;
Φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν ἠδ' ἐπικούρων
Οἶος σὺν γαμβροῖσι, κασιγνήτοισί τε σοῖσι.
Τῶν νῦν οὔτιν' ἐγὼ ἰδέειν δύναμ', οὐδὲ νοῆσαι.
Ἀλλὰ καταπτώσσουσι, κύνες ὣς ἀμφὶ λέοντα.
Ἡμεῖς δ' αὖ μαχόμεσθ', οἵ πέρ τ' ἐπίκουροι ἔνειμεν,
Καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν, μάλα τηλόθεν ἥκω.
Τηλοῦ γὰρ Λυκίη Ξάνθῳ ἔπι δινήεντι,
Ἔνθ' ἄλοχόν τε φίλην ἔλιπον, καὶ νήπιον υἱόν.
Κὰδ δὲ κτήματα πολλὰ, τάτ' ἔλδεται, ὅς κ' ἐπιδευής,
Ἀλλὰ καὶ ὧς, Λυκίους ὀτρύνω, καὶ μέμον' αὐτὸς
Ἀνδρὶ μαχέσασθαι. ἀτὰρ οὔτι μοι ἐνθάδε τοῖον,

φαεινήν.] λαμπράν. ἐπέσσυτο.] ἐφώρμησε. δαίμονι ἶσος.] θεῷ ὅμοιος, καὶ παραπλήσιος. ὁμοκλήσας.] ἀπειλήσας, ἐπιτιμητικῶς βοήσας. φράζεο.] σκέπτου, διαλογίζου, φράζεο καὶ χάζεο. διαλογιζόμενος ἀναχώρει. φῦλον.] ἔθνος. χαμαὶ ἐρχομένων.] ἀντὶ τοῦ ἀποθνησκόντων. ἢ ἐπὶ γῆς βαδιζόντων, ἢ χαμαιρριφῶν. ἢ φθαρτῶν. ἀνεχάζετο.] ἀνεχώρει. τυτθόν.] μικρόν, ὀλίγον. ἀλευάμενος.] ἐκκλίνας.

ἀπάτερθεν.] ἄπωθεν. Περγάμῳ.] τῇ ἀκροπόλει τῶν Τρώων τῆς Ἰλίου, οὕτω καλουμένῃ. ἰοχέαιρα.] ἡ ἰοῖς, ὅ ἐστι βέλεσι χαίρουσα, ὅτι ἐστὶ τοξική. ἀδύτῳ.] ναῷ. ἄδυτα γὰρ καλοῦνται οἱ τόποι τῶν ἱερῶν, εἰς οὓς οὐκ ἔξεστιν εἰσιέναι πᾶσιν. ἀκέοντο.] ἐθεράπευον νῦν, ἢ ἐπεμελοῦντο, ἢ παρεμυθοῦντο. κύδαινον.] ἐδόξαζον, πρὸς δόξαν προετρέποντο.

ἴκελον.] ὅμοιον. τοῖον.] τοιοῦτον. δῄουν.] διέκοπτον. βοείας.] τὰς ἀσπίδας τὰς ἐκ βοείων βυρσῶν. εὐκύκλους.] περιφερεῖς, εὖ ἐχούσας ἐν τῇ περιφερείᾳ. λαισήια.] βαρβαρικὰ ὅπλα. ἢ βέλη, ἢ μικρὰ ἀσπιδίσκια. ὠμοβύρσινα σάκη. ὅπλα κοῦφα παρὰ τὸ ἐν τῇ λαιᾷ χειρὶ βαστάζεσθαι.

θοῦρον.] ὁρμητικὸν ἐν τῷ πολέμῳ. βροτολοιγέ.] ἀνδροφόνε. ἐρύσαιο.] ἑλκύσειας. χεῖρ' ἐπὶ καρπῷ.] ἐπὶ τὸν καρπὸν τῆς χειρός. ἐπέσσυτο.] ἐφώρμησεν. ἄκρῃ.] ἀκροπόλει. Τρώων δὲ στίχας.] τοὺς δὲ Τρῶας εἰς τάξεις. οὖλος.] ὀλέθριος. ὤτρυνε.] παρώξυνεν. εἰδόμενος.] ὁμοιωθείς. Ἀκάμαντι.] ὄνομα κύριον. ἡγήτορι.] ἡγεμόνι. ἐς τί ἔτι.] μέχρι τίνος. εἰσόκεν.] ἕως ἂν, μέχρις ἄν. εὖ ποιητῇσιν.] εὖ πεποιημέναις. εὖ καὶ καλῶς κατεσκευασμέναις. ἶσον.] ἐπίσης, ὁμοίως. ἐτίομεν.] ἐτιμῶμεν. ἐκ φλοίσβοιο.] ἐκ ταραχῆς. σαώσομεν.] σώσωμεν. νείκεσεν.] ὠνείδισε. πῇ δή τοι.] ποῦ δή σοι. οἴχεται.] πεπόρευται. ἔχεσκες.] εἶχες. φῆς.] ἔλεγες. που.] ἀντὶ τοῦ δή. ἄτερ.] χωρίς. ἑξέμεν.] ἕξειν, συνέξειν, συνεκσώσειν, φυλάξειν. γαμβροῖσιν.] οἱ ἄνδρες τῶν θυγατέρων. γαμβρὸς καλεῖται ὁ γήμας ὑπὸ τῶν οἰκείων τῆς γαμηθείσης. ἰδέειν.] ἰδεῖν. νοῆσαι.] θεάσασθαι. καταπτώσσουσι.] δειλιῶσιν. ἔνειμεν.] ἐσμέν. ὄντες μέν. ὑπάρχομεν. ἥκω.] παραγέγονα. τηλοῦ.] μακρόθεν. δινήεντι.] δίνας ἔχοντι. δῖναι δέ εἰσιν αἱ τῶν ὑδάτων συστροφαί. ἔλδεται.] ἐπιθυμεῖ. ἐπιδευής.] ἐνδεής. τίων.]

τύνη.] σύ, Δωρικῶς. ἀπὸ τοῦ τύ, ἐν παραγωγῇ τύνη. ὡς ἀπὸ τοῦ ἐγώ, ἐγώνη. μενέμεν.] ὑπομένειν, προθυμεῖσθαι. ὤρεσι.] ταῖς γυναιξί. παρὰ τὸ συνεζεῦχθαι τοῖς ἀνδράσιν, ἔνθεν καὶ συνωρὶς τὸ συνεζευγμένον τῶν ἵππων ὄχημα. ἁψῖσι λίνου.] τοῖς ἅμμασι καὶ ταῖς συναφαῖς τοῦ λίνου, περιφραστικῶς δὲ τὸ δίκτυον δικτύου. ἁψῖσιν.] ἅμμασι, συναφαῖς. λίνου.] δικτύου. ἁλόντε.] ληφθέντες. πανάγρου.] τοῦ πάντα ἀγρεύοντος. ἕλωρ.] ἕλκυσμα, ἕλασμα καὶ ἀνάρπασμα. ἐσχημάτισται δὲ παρὰ τὸ ἕλω. κῦρμα.] ἐγκύρημα, ἔντευγμα. οἷον ἐπίτευγμα, εὐτύχημα. λέγει δὲ τῶν ἐχθρῶν. ὑμήν.] ὑμετέραν. λισσομένῳ.] δεομένῳ. νωλεμέως.] ἀδιαλείπτως, συνεχῶς. ἐχέμεν.] συνέχειν ἢ ἀντέχειν πρὸς τὴν μάχην καὶ μὴ ἐνδιδόναι. ἐνιπήν.] ἐπίπληξιν. δάκε.] καθίκετο, καθήψατο. ἆλτο.] καθήλατο. πάλλων.] κινῶν. πάντῃ.] πανταχοῦ. ἐλελίχθησαν.] συνεστράφησαν. μεταβαλλόμενοι ἐπλήθησαν. ἀολλέες.] συνεσταλμένοι, ἀθρόοι, συνηγμένοι. φόβηθεν.] ἐφοβήθησαν. ἄχνας.] τὰ λεπτὰ τῶν ἀφύρων. ἢ τὰ ἄχυρα. ἄχνη δὲ καλεῖται καὶ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρός. φορέει.] φέρει, διασκορπίζει, σκεδάζει. ἀλωάς.] ἀλωνίας. νῦν δὲ τοὺς τόπους, ὅπου ὁ πυρὸς πατεῖται. τουτέστιν ἀλοᾶται, σημαίνει δὲ καὶ τὴν δενδροφόρον γῆν, καὶ ἐν ᾗ ἀπὸ τοῦ σίτου τὰ ἄχυρα διαιρεῖται. λικμᾶν γάρ ἐστι τὸ χωρίζειν ἀπὸ τοῦ σίτου τὸ ἄχυρον τοῖς πτύοις. ξανθὴ Δημήτηρ.] ὁ πυρός. ὁ δὲ τρόπος μετωνυμία. ἢ αὐτὴ ἡ θεὸς ἡ γεωργικὴ ἐπιστήμη. κρίνῃ.] διαχωρίζει. ἐπειγομένων.] ἀντὶ τοῦ ἐπειγόντων καὶ συνεχῶς καὶ μετὰ βίας πνεόντων. ἀχυρμιαί.] ἀχυροθῆκαι οἱ τόποι, εἰς οὓς χωριζόμενα τοῦ σίτου τὰ ἄχυρα ἐκπίπτει. ὕπερθεν.] ὑπεράνωθεν. κονισάλῳ.] τῷ κονιορτῷ. πολύχαλκον.] στερεόν, λίαν ἰσχυρόν. ἐπέπληγον.] πλήσσοντες σφοδρῶς καὶ ἐντόνως ἤγειρον καὶ ἀνέπαλλον καὶ ἀνεκίνουν. ἂψ ἐπιμισγομένων.] ἐξ ὑποστροφῆς ἐμβαλλόντων. ὑπὸ δ' ἔστρεφον.] ὑπέστρεφον δέ. ἡνιοχῆες.] ἡνίοχοι. ἡ εὐθεῖα ὁ ἡνιοχεύς. μένος χειρῶν ἰθὺς φέρον.] τὴν διὰ τῶν χειρῶν δύναμιν ἐναντίον ἔφερον ἀλλήλων. ἰθύς.] ἐπ' εὐθείας. νύκτα.] ἀχλύν. ἀρήγων.] βοηθῶν. πάντοσε.] πανταχοῦ, πανταχόσε. ἐκραίαινεν.] ἐπιτέλει. ἐφετμάς.] ἐντολάς. χρυσαόρου.] χρυσοφασγάνου. χρυσοῦν ξίφος ἔχοντος. οἱ δὲ νεώτεροι, ὡς χρυσῆν κιθάραν ἔχοντος ἀποδιδόασι τὴν λέξιν. πέλεν.] ἐγένετο, ἦν. πίονος.] νῦν πλουσίου, ἢ λιπαροῦ, εὐδαίμονος. ἀδύτοιο.] ναοῦ ὃν εἰσελθεῖν οὐ ῥᾴδιον. ἧκεν.] ἀφῆκε. μεθίστατο.] ἐν αὐτοῖς ἔστη. ἑτάροισι μεθίστατο.] ἐν τοῖς ἑταίροις ἵστατο. ἀρτεμέα.] ὑγιῆ. μετάλλησαν.] ἐπεζήτησαν. ὅτι.] οὐδέν. ἔα.] ἀντὶ τοῦ εἴα. πόνος.] ἐνέργεια. δηλοῖ δὲ νῦν κακοπάθειαν. ἄμοτον.] ἀπλήρωτον. ἰωκάς.] κραυγάς, ἀπειλάς. ἢ τὰς ἐν τῷ πολέμῳ διώξεις.

Οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ ἤκεν ἄγοιεν,
Τύνη δ' ἕστηκας. ἀτὰρ οὐδ' ἄλλοισι κελεύεις
Λαοῖσι μενέμεν, καὶ ἀμυνέμεναι ὤρεσι.
Μή πως ὡς ἁψῖσι λίνου ἁλόντε πανάγρου,
Ἀνδράσι δυσμενέεσσιν ἕλωρ, καὶ κῦρμα γένησθε.
Οἳ δέ, τάχ' ἐκπέρσουσ' εὖ ναιομένην πόλιν ὑμήν.
Σοὶ δὲ χρὴ τάδε πάντα μέλειν νύκτας τε, καὶ ἦμαρ,
Ἀρχοὺς λισσομένῳ τηλεκλητῶν ἐπικούρων
Νωλεμέως ἐχέμεν, κρατερὴν δ' ἀποθέσθαι ἐνιπήν.
Ὣς φάτο Σαρπηδών. δάκε δὲ φρένας Ἕκτορι μῦθος.
Αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.
Πάλλων δ' ὀξέα δοῦρα, κατὰ στρατὸν ᾤχετο πάντῃ,
Ὀτρύνων μαχέσασθαι. ἔγειρε δὲ φύλοπιν αἰνήν.
Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, οὐδ' ἐφόβηθεν.
Ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς,
Ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ,
Κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε, καὶ ἄχνας.
Αἱ δ' ὑπολευκαίνονται ἀχυρμιαί. ὣς τότ' Ἀχαιοί,
Λευκοὶ ὕπερθε γένοντο κονισάλῳ, ὅν ῥα δι' αὐτῶν
Οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων,
Ἂψ ἐπιμισγομένων, ὑπὸ δ' ἔστρεφον ἡνιοχῆες.
Οἱ δέ, μένος χειρῶν ἰθὺς φέρον. ἀμφὶ δὲ νύκτα,
Θοῦρος Ἄρης ἐκάλυψε μάχῃ Τρώεσσιν ἀρήγων
Πάντοσ' ἐποιχόμενος. τοῦ δ' ἐκραίαινεν ἐφετμὰς
Φοίβου Ἀπόλλωνος χρυσαόρου, ὅς μιν ἀνώγει
Τρωσὶν θυμὸν ἐγείρειν, † ἐπεὶ ἴδε Παλλάδ' Ἀθήνην
Οἰχομένην. ἡ γάρ ῥα πέλεν Δαναοῖσιν ἀρηγών.
Αὐτὸς δ' Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο
Ἧκε, καὶ ἐν στήθεσσι μένος βάλε ποιμένι λαῶν.
Αἰνείας δ' ἑτάροισι μεθίστατο, τοὶ δ' ἐχάρησαν
Ὡς εἶδον ζωόν τε, καὶ ἀρτεμέα προσιόντα,
Καὶ μένος ἐσθλὸν ἔχοντα. μετάλλησάν γε μὲν οὔτι,
Οὐ γὰρ ἔα πόνος ἄλλος, ὃν ἀργυρότοξος ἔγειρεν,
Ἄρης τε βροτολοιγός, Ἔρις τ' ἄμοτον μεμαυῖα.
Τοὺς δ' Αἴαντε δύω, καὶ Ὀδυσσεύς, καὶ Διομήδης,
Ὤτρυνον Δαναοὺς πολεμιζέμεν, οἳ δὲ καὶ αὐτοὶ

† ἐγεῖραι

Οὔτε

Οὔτε βίας Τρώων ὑπεδείδισαν, οὔτε ἰωκάς,
Ἀλλ᾽ ἔμενον νεφέλησιν ἐοικότες, ἅς τε Κρονίων
Νηνεμίης ἔστησεν ἐπ᾽ ἀκροπόλοισιν ὄρεσσιν,
Ἀτρέμας, ὄφρ᾽ εὕδησι μένος Βορέαο, καὶ ἄλλων
Ζαχρειῶν ἀνέμων, οἵτε νέφεα σκιόεντα,
Πνοιῇσι λιγυρῇσι διασκιδνᾶσιν ἀέντες,
Ὡς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδ᾽ ἐφέβοντο.
Ἀτρείδης δ᾽ ἀν᾽ ὅμιλον ἐφοίτα πολλὰ κελεύων.
Ὦ φίλοι ἀνέρες ἐστὲ, καὶ ἄλκιμον ἦτορ ἕλεσθε,
Ἀλλήλους τ᾽ αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
Αἰδομένων δ᾽ ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται.
Φευγόντων δ᾽ οὔτ᾽ ἄρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.
Ἦ, καὶ ἀκόντισε δουρὶ θοῶς. βάλε δὲ πρόμον ἄνδρα
Αἰνείω ἕταρον μεγαθύμου Δηϊκόωντα
Περγασίδην, ὃν Τρῶες ὁμῶς Πριάμοιο τέκεσσι
Τῖον, ἐπεὶ θοὸς ἔσκε μετὰ πρώτοισι μάχεσθαι,
Τόν ῥα κατ᾽ ἀσπίδα δουρὶ βάλε κρείων Ἀγαμέμνων,
Ἡ δ᾽ οὐκ ἔγχος ἔρυτο. διὰ πρὸ δὲ εἴσατο καὶ τῆς,
Νειαίρῃ δ᾽ ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἔνθ᾽ αὖτ᾽ Αἰνείας Δαναῶν ἕλεν ἄνδρας ἀρίστους,
Υἷε Διοκλῆος Κρήθωνά τε, Ὀρσίλοχόν τε,
Τῶν ῥα πατὴρ μὲν ἔναιεν ἐϋκτιμένῃ ἐνὶ Φηρῇ,
Ἀφνειὸς βιότοιο, γένος δ᾽ ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅς τ᾽ εὐρὺ ῥέει Πυλίων διὰ γαίης.
Ὃς τέκετ᾽ Ὀρσίλοχον πολέεσσ᾽ ἄνδρεσσιν ἄνακτα.
Ὀρσίλοχος δ᾽ ἄρ᾽ ἔτικτε Διοκλῆα μεγάθυμον.
Ἐκ δὲ Διοκλῆος διδυμάονε παῖδε γενέσθην,
Κρήθων, Ὀρσίλοχός τε, μάχης εὖ εἰδότε πάσης.
Τὼ μὲν ἄρ ἡβήσαντε, μελαινάων ἐπὶ νηῶν
Ἴλιον εἰς εὔπωλον ἅμ᾽ Ἀργείοισιν ἑπέσθην,
Τιμὴν Ἀτρείδῃς Ἀγαμέμνονι, καὶ Μενελάῳ
Ἀρνυμένω, τὼ δ᾽ αὖθι τέλος θανάτοιο κάλυψεν.
Οἵω τώ γε λέοντε δύω ὄρεος κορυφῇσιν
Ἐτραφέτην ὑπὸ μητρὶ βαθείης τάρφεσιν ὕλης
Τὼ μὲν, ἄρ᾽ ἁρπάζοντε βόας, καὶ ἴφια μῆλα
Σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτὼ
Ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ,
Τοίω τὼ χείρεσσιν ὑπ᾽ Αἰνείαο δαμέντε,
Καππεσέτην ἐλάτῃσιν ἐοικότες ὑψηλῇσιν.
Τὼ δὲ πεσόντ᾽, ἐλέησε βοὴν ἀγαθὸς Μενέλαος,
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ.
Σείων ἐγχείην, τοῦ δ᾽ ὤτρυνεν μένος Ἄρης,
Τὰ φρονέων, ἵνα χερσὶν ὑπ᾽ Αἰνείαο δαμείη,
Τὸν δ᾽ ἴδεν Ἀντίλοχος μεγαθύμου Νέστορος υἱός.
Βῆ δὲ διὰ προμάχων· περὶ γὰρ δίε ποιμένι λαῶν,
Μή τι πάθῃ, μέγα δέ σφεας ἀποσφήλειε πόνοιο,

διώξεις. νηνεμίης.] ἤγουν νηνεμίας. ἀκροπόλοισιν.] ὧν περὶ τὰ ἄκρα πολοῦνται, ὅ ἐστιν ἀναστρέφονται. ἀτρέμας.] ἐφ᾽ ἡσυχίας, ἄνευ τινὸς κινήσεως. ὄφρ᾽ εὕδησι.] ὅτ᾽ ἀνηρεμῇ.

ζαχρειῶν.] ἄγαν χρειωδῶν. μεγάλως πνεόντων. σκιόεντα.] μελανὰς σκιὰς ποιοῦντα. λιγυρῇσι.] λιγυραῖς. ἡδείαις, ἢ ὀξείαις, σφοδραῖς. διασκιδνᾶσι.] διασκορπίζουσιν. ἀέντες.] πνέοντες. ἐφοίτα.] ἐπορεύετο. ἀνέρες.] νῦν ἀντὶ τοῦ ἀνδρεῖοι. ἄλκιμον.] ἰσχυρόν. ἕλεσθε.] ἀναλάβετε.

αἰδομένων.] αἰσχυνομένων. σόοι.] σῶοι, ὑγιεῖς. τὸ σο μικρὸν διὰ τὸ μέτρον. πέφανται.] πεφονευμένοι εἰσίν. ἢ ἀναιροῦνται. σημαίνει δὲ καὶ τὸ γεγένηται φανεροί. φονεύονται. Αἰνείω ἕταρον.] Αἰνέαο ἰωνικῶς, καὶ κατὰ συναλοιφὴν Αἰνέω, Αἰνέου. Περγασίδην.] Περγάσου υἱόν. τῖον.] ἐτίμων. θοός.] ταχύς, πολεμικός. ἔρυτο.] ὑπέμεινεν, ἐκώλυσεν ἐφύλαξεν. εἴσατο.] διῆλθε. νειαίρῃ.] τῇ νεάτῃ. λέγει δὲ τὸ ἔσχατον μέρος τῆς γαστρός. ἔναιε.] κατῴκει.

ἐϋκτιμένῃ.] καλῶς κατεσκευασμένῃ.

βιότοιο.] νῦν τοῦ πρὸς τὸ ζῆν ἐπιτηδείου. Ἀλφειοῦ.] Ἀλφειὸς ποταμὸς ἐν Ἤλιδι. εὐρὺ ῥέει.] ἀντὶ τοῦ εὐρέως. πλατέως. διδυμάονε.] διδυμάονες διδύμων διαφέρουσι, καθότι οὗτοι μὲν ἀδελφοὺς δηλοῦσιν, οἱ δὲ δίδυμοι οὐκ ἐξ ἀνάγκης. κεῖται γὰρ ἡ λέξις καὶ ἐπὶ ἁπλῶς διδύμου. τὸ ο μικρὸν, διὰ τὸ μέτρον. γενέσθην.] ἐγεννήθησαν. ἡβήσαντε.] ἀκμάσαντες δυϊκῶς. εὔπωλον.] καλοὺς ἵππους ἔχουσαν. εὔιππον ἢ ἐν ᾗ ἔστι καλῶς ἀναστραφῆναι. ἀρνυμένω.] ἀντικαταλλασσομένω. τάρφεσι.] πυκνώμασι, συνεχέσι τόποις.

ὕλης.] συμφύτου τόπου. ἴφια.] ἤτοι εὐτραφῆ. ἢ κατ᾽ εὐφημισμὸν ἀσθενῆ. ἢ ἰσχυροποιὰ τῶν ἐσθιόντων. σταθμούς.] τὰς ἐπαύλεις. κεραΐζετον.] πορθοῦσι. κινοῦσιν. ἐν παλάμῃσιν.] ἀντὶ τοῦ, ἐν ταῖς χερσί. καππεσέτην.] κατέπεσον. δυϊκῶς. ἐλάτῃσιν.] ἐλάτη εἶδος δένδρου. σείων.] κινῶν.

δαμείη.] φονευθῇ. περὶ γὰρ δίε.] περισσῶς γὰρ ἐφοβεῖτο. μέγα δέ σφεας.] μεγάλως. συσταλτέον διὰ τὸ μέτρον. ἀποσφήλειε πόνοιο.] ἀποσφαλῆναι καὶ ἀποτυχεῖν ποιήσει τοῦ ἔργου. πόνοιο.] τοῦ προκειμένου ἔργου.

μένοντε.] παραμένοντας. παρεστῶτας. δειλώ.] δειλαίους, δυϊκῶς. ἀσθενεῖς. ἀθλίους. βαλέτην.] ἐνεχείρισαν, ἔθηκαν. μετὰ πρώτοισιν.] ἐν τοῖς προμαχομένοις. ἀτάλαντον.] ἴσον. τυχήσας.] ἐπιτυχών. Ἀτυμνιάδην.] Ἀτυμνίου υἱόν. λεύκ' ἐλέφαντι.] λευκὰ ὡς ἐλέφαντος. ἤλασεν.] ἔκοψε. κόρσην.] κεφαλήν, κρόταφον. ἀσθμαίνων.] πνευστιῶν· σφοδρῶς ἀναπνέων. εὐεργέος.] εὖ πεποιημένου καὶ καλῶς κατεσκευασμένου. κύμβαχος.] ἐπὶ κεφαλὴν κυβιστῶν. ἐπὶ βρεχμόν.] ἤδη τὸ βρέγμα τῆς κεφαλῆς. ἀμάθοιο.] ἄμαθος, ἡ κατὰ τὸ πεδίον ἄμμος, ψάμμος δὲ ἡ κατὰ τὴν θάλασσαν κόνις. βάλον.] κατέβαλον. ἵμασεν.] ἐμάστιξεν, ἐδίωξεν. ἐνόησεν.] ἐθεάσατο. κεκληγώς.] κραυγάζων, βοῶν. εἵποντο.] ἠκολούθουν. Ἐνυώ· πολεμικὴ θεός. κυδοιμόν.] τὴν ταραχήν, τὸν θόρυβον, ἢ πόλεμον. ἐνώμα.] διέφερεν, ἐκίνει, μετέφερε. φοίτα.] ἀνεστρέφετο. ἀπάλαμνος.] ἀσθενής· ἄπειρος· μηδὲν μηχανήσασθαι δυνάμενος. πολέος.] πολλοῦ. ὠκυρόῳ.] ταχέα ῥεύματα ἔχοντι· ταχέως ῥέοντι. ἅλα δὲ προρέοντι.] εἰς τὴν θάλασσαν ἐμβάλλοντι. μορμύροντα.] ὠνοματοπεποίηται ἡ λέξις ἀπὸ τοῦ ψόφου τοῦ ἐν τοῖς ὕδασι γιγνομένου. ἀνεχάζετο.] ἀνεχώρει. οἷον δή.] ἀντὶ τοῦ οἷον ἄρα δή. θαυμάζομεν.] ἐκπληττόμεθα. πάρα.] πάρεστι. πρὸς Τρῶας τετραμμένοι.] τοὺς Τρῶας βλέποντες. εἴκετε.] πράως ἀποχωρεῖτε. μενεαινέμεν.] προθυμεῖσθαι. εἰδότε χάρμης.] ἐπισταμένους μάχεσθαι. Παισῷ.] Παισὸς πόλις Τροίας, ἣν ἐν ἄλλοις Ἀπαισὸν, μετὰ τοῦ α προσηγόρευσε. πολυκτήμων.] πολλὰ κτήματα ἔχων. πολυλήϊος.] πολλὰ λήϊα ἔχων, ἢ πολλὰ θρέμματα ἔχων· πολυθρέμμων. λεία δὲ λέγεται καὶ τὰ ἐκ πολέμου λάφυρα, ἢ τὰ ἀπὸ λῃστείας.

ἐπικουρήσον-

Τὼ μὲν δὴ, χεῖράς τε, καὶ ἔγχεα ὀξυόεντα,
Ἀντίον ἀλλήλων ἐχέτην μεμαῶτε μάχεσθαι.
Ἀντίλοχος δὲ μάλ' ἄγχι παρίστατο ποιμένι λαῶν.
Αἰνείας δ' οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής,
Ὡς εἶδεν δύο φῶτε παρ' ἀλλήλοισι μένοντε.
Οἱ δ' ἐπεὶ οὖν νεκροὺς ἔρυσαν μετὰ λαὸν Ἀχαιῶν,
Τὼ μὲν ἄρα δειλὼ βαλέτην ἐν χερσὶν ἑταίρων.
Αὐτὼ δὲ στρεφθέντε, μετὰ πρώτοισι μαχέσθην.
Ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον Ἄρηϊ,
Ἀρχὸν Παφλαγόνων μεγαθύμων ἀσπιστάων.
Τὸν μὲν ἄρ' Ἀτρείδης δουρικλυτὸς Μενέλαος,
Ἑσταότ' ἔγχεϊ νύξε κατὰ κληῗδα τυχήσας.
Ἀντίλοχος δὲ Μύδωνα βάλ' ἡνίοχον θεράποντα,
Ἐσθλὸν Ἀτυμνιάδην ὃ δ' ὑπέστρεφε μώνυχας ἵππους.
Χερμαδίῳ ἀγκῶνα τυχὼν, μέσον· ἐκ δ' ἄρα χειρῶν,
Ἡνία λεύκ' ἐλέφαντι χαμαὶ πέσον ἐν κονίῃσιν.
Ἀντίλοχος δ' ἄρ' ἐπαΐξας ξίφει ἤλασε κόρσην.
Αὐτὰρ ὅγ' ἀσθμαίνων, εὐεργέος ἔκπεσε δίφρου
Κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους
Δηθὰ μάλ' εἱστήκει· τύχε γὰρ ψαμάθοιο βαθείης,
Ὄφρ' ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσι,
Τοὺς δ' ἵμασ' Ἀντίλοχος, μετὰ δὲ στρατὸν ἤλασ' Ἀχαιῶν.
Τοὺς δ' Ἕκτωρ ἐνόησε κατὰ στίχας, ὦρτο δ' ἐπ' αὐτοὺς,
Κεκληγώς. ἅμα δὲ Τρώων εἵποντο φάλαγγες
Καρτεραί, ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ πότνι' Ἐνυώ.
Ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊοτῆτος,
Ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα.
Φοίτα δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθεν.
Τὸν δ' ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης,
Ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος ἰὼν πολέος πεδίοιο.
Στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ, ἅλαδε προρέοντι,
Ἀφρῷ μορμύροντα ἰδὼν, ἀνά τ' ἔδραμ' ὀπίσσω.
Ὡς τότε Τυδείδης ἀνεχάζετο, εἶπέ τε λαῷ.
Ὦ φίλοι οἷον δὴ θαυμάζομεν Ἕκτορα δῖον
Αἰχμητήν τ' ἔμεναι, καὶ θαρσαλέον πολεμιστήν.
Τῷ δ' αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
Καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς.
Ἀλλὰ πρὸς Τρῶας τετραμμένοι αἰὲν ὀπίσσω
Εἴκετε. μηδὲ θεοῖς μενεαινέμεν ἶφι μάχεσθαι.
Ὡς ἄρ' ἔφη, Τρῶες δὲ μάλα σχεδὸν ἤλυθον αὐτῶν.
Ἔνθ' Ἕκτωρ δύο φῶτε κατέκτανεν, εὖ εἰδότε χάρμης,
Εἰν ἑνὶ δίφρῳ ἐόντε, Μενέσθην, Ἀγχίαλόν τε.
Τὼ δὲ πεσόντ' ἐλέησε μέγας Τελαμώνιος Αἴας.
Στῆ δὲ μάλ' ἐγγὺς ἰὼν, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
Καὶ βάλεν Ἄμφιον Σελάγου υἱὸν, ὅς ῥ' ἐνὶ Παισῷ
Ναῖε πολυκτήμων, πολυλήϊος. ἀλλά ἑ μοῖρα,
Ἦγ' ἐπικουρήσοντα μετὰ Πρίαμόν τε καὶ υἷας.

Τόν ῥα

Τόν ῥα κατὰ ζωστῆρα βάλε Τελαμώνιος Αἴας.
Νειαίρῃ δ' ἐν γαστρὶ πάγη δολιχόσκιον ἔγχος.
Δούπησεν δὲ πεσών, ὁ δ' ἐπέδραμε φαίδιμος Αἴας
Τεύχεα συλήσων. Τρῶες δ' ἐπὶ δούρατ' ἔχευαν,
Ὀξέα, παμφανόωντα, σάκος δ' ἀνεδέξατο πολλά.
Αὐτὰρ ὁ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος
Ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλά.
Ὤμοιιν ἀφελέσθαι, ἐπείγετο γὰρ βελέεσσι,
Δεῖσε δ' ὅγ' ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων,
Οἳ πολλοί τε, καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε' ἔχοντες,
Οἵ ἑ μέγαν περ ἐόντα, καὶ ἴφθιμον, καὶ ἀγαυόν,
Ὦσαν ἀπὸ σφείων. ὁ δέ, χασσάμενος πελεμίχθη,
Ὣς οἱ μὲν πονέοντο κατὰ κρατερὴν ὑσμίνην,
Τληπόλεμον δ' Ἡρακλείδην, ἠΰν τε, μέγαν τε,
Ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.
Οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Υἱός θ', υἱωνός τε Διὸς νεφεληγερέταο,
Τὸν καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπεν,
Σαρπῆδον Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη
Πτώσσειν ἐνθάδ' ἐόντι μάχης ἀδαήμονι φωτί;
Ψευδόμενοι δέ σέ φασι Διὸς γόνον αἰγιόχοιο
Εἶναι. ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν,
Οἳ Διὸς ἐξεγένοντο, ἐπὶ προτέρων ἀνθρώπων
Ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην,
Εἶναι ἐμὸν πατέρα θρασυμέμνονα θυμολέοντα,
Ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος,
Ἓξ οἴῃς σὺν νηυσί, καὶ ἀνδράσι παυροτέροισιν,
Ἰλίου ἐξαλάπαξε πόλιν. χήρωσε δ' ἀγυιάς.
Σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί.
Οὐδέ τί σε Τρώεσσιν ὀΐομαι ἄλκαρ ἔσεσθαι,
Ἐλθόντ' ἐκ Λυκίης, οὐδ' εἰ μάλα καρτερός ἐσσι,
Ἀλλ' ὑπ' ἐμοὶ δμηθέντα, πύλας Ἀΐδαο περήσειν.
Τὸν δ' αὖ Σαρπηδὼν Λυκίων ἀγὸς ἀντίον ηὔδα,
Τληπόλεμ' ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρήν,
Ἀνέρος ἀφραδίῃσιν ἀγαυοῦ Λαομέδοντος,
Ὅς ῥά μιν εὖ ἔρξαντα κακῷ ἠνίπαπε μύθῳ,
Οὐδ' ἀπέδωχ' ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε.
Σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν,
Ἐξ ἐμέθεν τεύξεσθαι. ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα,
Εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
Ὣς φάτο Σαρπηδών. ὁ δ' ἀνέσχετο μείλινον ἔγχος
Τληπόλεμος. καὶ τῶν μὲν ἁμαρτῇ δούρατα μακρά
Ἐκ χειρῶν ἤϊξαν, ὁ μὲν βάλεν αὐχένα μέσσον
Σαρπηδών, αἰχμὴ δὲ διαμπερὲς ἦλθ' ἀλεγεινή.
Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε.

ἐπικυρήσοντα.] βοηθήσοντα. νειαίρῃ.] κατωτάτῃ. δούπησεν.] ἐψόφησεν. ἔχευαν.] δαψιλῶς, ἐπέπεμψαν. ἐπέχευαν ἀθρόως. ἡ μεταφορὰ ἀπὸ τῶν ὑγρῶν. ἔχευαν.] ἐξηκόντισαν. παμφανόωντα, λάμποντα. σάκος.] ἀσπίς. ὅπλον. ἀνεδέξατο.] ἀνέλαβε. προβάς.] ἐνθορών, ἐμβάς. ἐσπάσατο.] ἀνείλκυσεν. ἐπείγετο.] κατεπονεῖτο. ἀμφίβασιν.] τὴν ὑπερμάχησιν· ἢ τὸν περιβάντα τῶν νεκρῶν ὑπέρμαχον. ἀγερώχων.] ἄγαν ἐντίμων, ἢ καὶ ἄγαν ὑβριστῶν. ἀγαυόν.] ἐπιφανῆ. ἔνδοξον. ὦσαν.] ἀπώσαντο. ἀπέβαλλον. ἀπὸ σφείων.] ἀφ' ἑαυτῶν. χασσάμενος.] ἀναχωρήσας. πελεμίχθη.] διεσείσθη. ἀπεσείσατο τὰ ἐμπεπηγότα τῇ ἀσπίδι. χασσάμενος πελεμίχθη.] κατὰ ἀναστροφὴν εἴρηται ἀντὶ τοῦ πελεμιχθεὶς ἀνεχάσατο. πονέοντο.] ἐνήργουν. Ἡρακλείδην.] Ἡρακλέους παῖδα. ἠΰν.] ἀγαθόν, γενναῖον. ὦρσεν ἐπ' ἀντιθέῳ Σαρπηδόνι μοῖρα κραταιή.] ἀποτόμως, ἰσχυρά. φασὶν Εὐρώπῃ τῇ Φοίνικος ἀνθολογούσῃ, φανῆναι τὸν Δία ἐν σχήματι ταύρου, κρόκον ἐκ τῶν ῥινῶν βλαστάνοντος. ἐπικαθεσθεῖσαν δὲ τοῖς νώτοις τὴν κόρην πρὸς ἀπαντισμόν, ἁρπάσας εἰς Κρήτην ἐκόμισεν. ἐξ ἧς φασὶ Σαρπηδόνα γενέσθαι καὶ Μίνωα καὶ Ῥαδάμανθυν. υἱωνός.] υἱός, υἱοῦ ἔγγονος. ἀδαήμονι.] ἀπείρῳ. ἀμαθεῖ. γόνον.] υἱόν. ἐπιδεύεαι.] ἐνδεὴς εἶ. θρασυμέμνονα.] τολμηρόν. θρασὺν ἐν τῷ μένειν. ἢ θρασέως ὑπομένοντα ἐν τῇ μάχῃ. θυμολέοντα.] λεοντόψυχον, γενναῖον. οἴῃς.] οἶαις. μόναις. χήρωσεν.] ἐκένωσεν. ἠρήμωσεν. ἐρήμους ἐποίησεν. ἐχώρισεν ἀπὸ τῶν οἰκείων. ἀγυιάς. ὁδούς. κακός.] δειλός, ἀσθενής. ἀποφθινύθουσιν.] ἀποφθείρονται. ἄλκαρ.] ἴαμα, ἀλέξημα, βοήθημα. πύλας ἀΐδαο περήσειν.] εἰς ᾅδου κατελθεῖν. ἀφραδίῃσιν.] ἀνοίαις. εὖ ἔρξαντα.] εὖ ποιήσαντα. ἠνίπαπεν.] ἐπέπληξεν. ἐξ ἐμέθεν.] ἐξ ἐμοῦ. τεύξεσθαι, γενήσεσθαι. δαμέντα.] δαμασθέντα, φονευθέντα, ἀναιρεθέντα. εὖχος.] καύχημα, δόξαν. κλυτοπώλῳ.] ἐνδόξους ἵππους ἔχοντι. τοῦ κλυτή ἐστιν ἡ ἐπιπόλευσις. οἷον ἀκουστή διὰ τὰς ἐπὶ τοῖς ἀποθανοῦσιν οἰμωγάς. ἢ ἔοικε τῷ ἐπιθέτῳ καὶ κατ' αὐτοῦ κεχρῆσθαι διὰ τὴν δὲ Περσεφόνης ἁρπαγὴν κλυτοπώλῳ τῷ ἱππικῷ. ἀνέσχετο.] ἀνέτεινε. μείλινον.] μελέϊνον. ἐκ μελίνου ξύλου κατασκευασμένον. μελία δὲ ξύλον δένδρου, ἢ μακρόν. ἁμαρτῇ.] ὁμοῦ καὶ κατὰ ταὐτὸ ἄφεσις καὶ συντυχία. διαμπερές.]

περὲς.] διαμπὰξ, διόλου. ἀλεγεινή.] ἀλγεινὴ, ἐπίπονος. ἐρεβεννή.] σκοτεινή. διέσσυτο.] διῆλθε. μαιμώωσα.] ἐνθουσιῶσα, καὶ ὀξέως ὁρμῶσα. ἢ τοῦ αἵματος γευστικῶς ἔχουσα. καὶ ἔστιν αἱμώωσα καὶ ἐν πλεονασμῷ τοῦ μ μαιμώωσα.

ἐγχριμφθεῖσα.] ἐμπαγεῖσα, ἐμπελασθεῖσα. λοιγόν.] ὄλεθρον. ἄμυνεν.] ἀπέστρεψεν, ἀπεκώλυσεν. ἑλκόμενον.] ἀπαιωρούμενον. ἐπεφράσατο.] ἐνενόησεν, ἐνεθυμήθη. ἐξερύσαι.] ἐξελκῦσαι. Τλήμονα.] εὔτολμον, ὑπομονητικόν. μαίμησεν.] ἐταράχθη, ἢ ἐνεθουσίασε. μερμήριξεν.] ἐνενόησε. προτέρω.] πρότερον εἰς τοὔμπροσθεν. ἐριγδούποιο.] μεγαλοήχου, μεγαλοψόφου. μόρσιμον.] πεπρωμένον, εἱμαρμένον. τῷ ῥα.] διὸ δή. κατὰ πληθύν.] εἰς τὸ πλῆθος. τράπεν.] ἔτρεψεν, ἔβαλεν. ὀξὺ νόησε.] ταχέως ἐνόησεν, ἐθεάσατο. κεκορυθμένος.] καθωπλισμένος. δεῖμα.] φόβον, εὐλάβειαν.

προσιόντι.] προσελθόντι. ὀλοφυδνόν.] οἰκτρόν, θρηνῶδες. αἰών.] ὁ τοῦ ἀνθρώπου βίος. ἔμελλον.] ἐώκειν. νοστήσας.] ἀνακομισθείς. εὐφρανέειν.] εὐφρανεῖν. παρήϊξε.] παρέδραμε, παρῆλθε. λελιημένος.] προθυμούμενος. ὤσαιτο.] ἀποδιώξειε. εἷσαν.] ἐκάθησαν, καθεσθῆναι ἐποίησαν. φηγῷ.] δρυῒ ἱερᾷ Διός. ὦσεν.] ἀπεώσατο.

θύραζε.] ἔξω, κυρίως μὲν ἔξω τῆς θύρας, νῦν δὲ κεῖται ἀντὶ τοῦ ἔξω. ἔλιπε ψυχή.] ἐλιποψύχησεν. ἀμπνύνθη.] ἀνέπνευσεν, ἀνέλαβεν ἑαυτόν. ζώγρει.] ἀνεζωπύρει, εἰς τὸ ζῆν ἦγεν. ἐπιπνείουσα.] ἐπιπνέουσα. κεκαφηότα.] ἐκπεπνευκότα. κάφος γὰρ τὸ πνεῦμα. ὅθεν καὶ κῆπος ὁ περιπνεόμενος τόπος. χαλκοκορυστῇ.] χαλκῷ καθωπλισμένῳ. προτρέποντο.] προτροπάδην ἔφευγον. ὅ ἐστι μὴ συστραφέντες, μὴ στρεφόμενοι οὖν. προτροπάδην γάρ ἐστι τὸ μεταστραφέντα ἐκφεύγειν. ἐπὶ νηῶν.] ἀντὶ τοῦ ὡς ἐπὶ τὰς ναῦς. ἀντεφέροντο.] ἐξ ἐναντίας ἐφέροντο. αἰέν.] διαπαντός.

χάλκεος

Τληπόλεμος δ' ἄρα μηρὸν ἀριστερὸν ἔγχεϊ μακρῷ
Βεβλήκει. αἰχμὴ δὲ διέσυτο μαιμώωσα,
Ὀστέῳ ἐγχριμφθεῖσα. πατὴρ δ' ἔτι λοιγὸν ἄμυνεν.
Οἱ μὲν ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι,
Ἐξέφερον πολέμοιο. βάρυνε δέ μιν δόρυ μακρὸν
Ἑλκόμενον, τὸ μὲν, οὔτις ἐπεφράσατ', οὐδ' ἐνόησε
Μηροῦ ἐξερύσαι δόρυ μείλινον, ὄφρ' ἐπιβαίη
Σπευδόντων, τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες.
Τληπόλεμον δ' ἑτέρωθεν ἐϋκνήμιδες Ἀχαιοὶ
Ἐξέφερον πολέμοιο. νόησε δὲ δῖος Ὀδυσσεὺς,
Τλήμονα θυμὸν ἔχων. μαίμησε δέ οἱ φίλον ἦτορ,
Μερμήριξε δ' ἔπειτα κατὰ φρένα, καὶ κατὰ θυμὸν
Ἢ προτέρω Διὸς υἱὸν ἐριγδούποιο διώκοι,
Ἦ ὅγε τῶν πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο.
Οὐδ' ἄρ' Ὀδυσσῆϊ μεγαλήτορι μόρσιμον ἦεν,
Ἴφθιμον Διὸς υἱὸν ἀποκτάμεν ὀξέϊ χαλκῷ.
Τῷ ῥα κατὰ πληθὺν Λυκίων τράπε θυμὸν Ἀθήνη.
Ἔνθ' ὅγε Κοίρανον εἷλεν Ἀλάστορά τε, Χρομίον τε,
Ἄλκανδρόν θ' Ἅλιόν τε, Νοήμονά τε, Πρύτανίν τε.
Καί νύ κ' ἔτι πλέονας Λυκίων κτάνε δῖος Ὀδυσσεὺς,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε μέγας κορυθαίολος Ἕκτωρ.
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ
Δεῖμα φέρων Δαναοῖσι. χάρη δ' ἄρα οἱ προσιόντι
Σαρπηδὼν Διὸς υἱὸς, ἔπος δ' ὀλοφυδνὸν ἔειπε.
Πριαμίδη μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσῃς
Κεῖσθαι, ἀλλ' ἐπάμυνον, ἔπειτά με καὶ λίποι αἰὼν
Ἐν πόλει ὑμετέρῃ. ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἔγωγε
Νοστήσας οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν,
Εὐφρανέειν ἄλοχόν τε φίλην, καὶ νήπιον υἱόν.
Ὣς φάτο. τὸν δ' οὔτι προσέφη κορυθαίολος Ἕκτωρ,
Ἀλλὰ παρήϊξεν λελιημένος, ὄφρα τάχιστα
Ὤσαιτ' Ἀργείους. πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Οἱ μὲν ἄρ' ἀντίθεον Σαρπηδόνα δῖοι ἑταῖροι,
Εἷσαν ὑπ' αἰγιόχοιο Διὸς περικαλλέϊ φηγῷ.
Ἐκ δ' ἄρα οἱ μηροῦ δόρυ μείλινον ὦσε θύραζε,
Ἴφθιμος Πελάγων, ὅς οἱ φίλος ἦεν ἑταῖρος.
Τὸν δ' ἔλιπε ψυχή. κατὰ δ' ὀφθαλμὸν κέχυτ' ἀχλύς.
Αὖτις δ' ἀμπνύνθη, περὶ δὲ πνοιὴ Βορέαο
Ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.
Ἀργεῖοι δ' ὑπ' Ἄρηϊ καὶ Ἕκτορι χαλκοκορυστῇ.
Οὔτε ποτὲ προτρέποντο μελαινάων ἐπὶ νηῶν,
Οὔτε ποτ' ἀντεφέροντο μάχῃ, ἀλλ' αἰὲν ὀπίσσω
Χάζονθ' ὡς ἐπύθοντο μετὰ Τρώεσσιν Ἄρηα.
Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν,
Ἕκτωρ τε Πριάμοιο πάϊς, καὶ χάλκεος Ἄρης,
Ἀντίθεον Τεύθραντ'. ἐπὶ δὲ πλήξιππον Ὀρέστην,
Τρῆχόν τ' αἰχμητὴν, Αἰτώλιον, Οἰνόμαόν τε,

Οἰνοπίδην

χάλκεος Ἄρης.] ἤτοι ἰσχυρὸς, ἢ πολύχαλκος διὰ τὸν ὁπλισμόν. αἰολομίτρην.] ποικίλην μίτραν ἔχοντα. Ὕλῃ.] πόλις Βοιωτίας. μέγα πλούτοιο μεμηλώς.] πάνυ πεφροντικὼς τοῦ πλούτου. μεμηλώς.] ἐπιμέλειαν ἔχων. κεκλιμένος.] παρακείμενος, γειτνιῶν, περιεχόμενος. λίμνῃ Κηφισίδι.] τῷ Κηφισῷ ποταμῷ. πίονα δῆμον.] εὐδαίμονα, δῆμον. Ἀτρυτώνη.] ἀκαταπόνητε. ὑπέστημεν.] ὑπεσχόμεθα. μεδώμεθα.] φροντίσωμεν. πρέσβα.] πρεσβυτάτη. ἔντυεν.] ἔντυε, κατεσκεύαζεν. ὀχέεσσιν.] ὀχήμασιν, ἅρμασιν. καμπύλα.] ἐπικαμπῆ. κύκλα.] Ἰωνικῶς, κύκλους τοὺς τροχούς. ὀκτάκνημα.] ὀκτάραβδα. ὀκτὼ κνήμας ἔχοντα. ἄξονι.] ἄξων ὁ εἰς τὰς χοινικίδας ἐμβαλλόμενος ἑκατέρου τροχοῦ. ἀμφίς.] νῦν ἀντὶ τοῦ ἑκατέρωθεν. ἴτυς.] ἡ περιφέρεια τοῦ ὀχήματος. ἀψῖδες δὲ, ἐξ ὧν ἡ περιφέρεια γίγνεται τοῦ τροχοῦ. ἡ ἀψὶς εἰς ἣν αἱ κνῆμαι ἀπὸ τῆς χοινικίδος ἐμπήγνυνται. ἐπίσσωτρα.] τὰ ἐπάνω τῶν τροχῶν σιδηρᾶ, ἢ χαλκᾶ, ἃ καὶ κανθοὶ καλοῦνται. ὁ ἔξωθεν τὸν τροχὸν κατέχων σίδηρος. οἱ σιδηροῖ, ἢ χαλκοῖ κύκλοι τῶν τροχῶν. προσαρηρότα.] προσηρμοσμένα. πλῆμναι.] αἱ χοινικίδες τῶν τροχῶν. δι' ὧν ὁ ἄξων στρέφεται. περίδρομοι.] στρογγύλαι, περιφερεῖς. ἄντυγες.] αἱ περιφέρειαι τοῦ ἅρματος αἱ παραπεπηγυῖαι. τὰ ἐπὶ τοῦ δίφρου ἡμικύκλια. ὅθεν καὶ τὰ ἡνία ἐξάπτονται. αἱ περιφέρειαι τοῦ ἁρματίου δίφρου. ὁμοίως δὲ καὶ ἡ τῆς ἀσπίδος περιφέρεια, ἄντυξ καλεῖται. ῥυμός.] τὸ μέσον τῶν ἵππων ξύλον. ᾧ συνδέδεται ὁ ζυγός. ῥυμὸς, ὁ προσηρτημένος τῷ ζυγῷ κανὼν εἰς ὀξὺ λήγων. τὸ μέσον ξύλον. πέλεν.] ἦν, ὑπῆρχε. ζυγόν.] τὸ ἐπιτιθέμενον ξύλον τοῖς τραχήλοις τῶν ἵππων. λέπαδνα.] τὰ περὶ τὰ στήθη τῶν ἵππων, οἱ ἱμάντες. πέπλον.] γυναικεῖον ἔνδυμα, τοῦτ' ἔστι χιτών. ὃν οὐκ ἐνεδύοντο ἀλλ' ἐνεπερονῶντο. κατέχευε.] καταχυθῆναι ἐποίησε τὰς περόνας λυσαμένη. διὰ τοῦτο δηλοῖ. ὅτι οὐκ ἐνεδύοντο τὸν πέπλον, ἀλλ' ἐπερονῶντο. ἀφαιρεσῶν γὰρ τῶν περονῶν καταῤῥέων φαίνεται ὁ πέπλος εἰς τὸ ἔδαφος. ἑανόν.] ἰσχυρὸν, ἢ τρυφερόν. ἐπ' οὔδει.] αὐτοῦ τῷ ἐδάφει. δακρυόεντα.] δακρύων, παραίτιον. θυσανόεσσαν.] κροσσοὺς ἔχουσαν πανταχοῦ. ἐστεφάνωται.] κύκλῳ, περίκειται. κρυόεσσα.] φρικτή. ἰωκή.] δίωξις. γοργείη κεφαλή.] Γοργότητος εἰκών. τοῦτ' ἔστι κατάπληξις καὶ φόβος. πελώρου.] μεγάλου τέρατος. σμερδνή.] καταπληκτική, φοβερά. ἀμφίφαλον.] φάλους (κώνους ἢ λόφους) περὶ αὐτὴν ἔχουσαν. φάλοι δέ εἰσιν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι. τετραφάληρον.] τέσσαρας φάλους ἔχουσαν. ἑκατὸν πόλεων πρυλέεσσ' ἀραρυῖαν.] πολλῶν πόλεων, πολλοῖς ὄχλοις ἁρμόσαι δυναμένην. πρυλέεσσι.] πεζοῖς ὁπλίταις.

Οἰνοπίδην θ' Ἕλενον, καὶ Ὀρέσβιον αἰολομίτρην,
Ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς,
Λίμνῃ κεκλιμένος Κηφισίδι, πὰρ δ' οἱ ἄλλοι
Ναῖον Βοιωτοὶ μάλα πίονα δῆμον ἔχοντες.
Τοὺς δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
Ἀργείους ὀλέκοντας ἐνὶ κρατερῇ ὑσμίνῃ,
Αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα,
Ὢ πόποι αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη.
Ἦ ῥ' ἅλιον τὸν μῦθον ὑπέστημεν Μενελάῳ,
Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι,
Εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους,
Ἥρη πρέσβα θεὰ θυγάτηρ μεγάλοιο Κρόνοιο.
Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα
Χάλκεα ὀκτάκνημα σιδηρέῳ ἄξονι ἀμφίς.
Τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος, αὐτὰρ ὕπερθεν
Χάλκε' ἐπίσσωτρα προσαρηρότα θαῦμα ἰδέσθαι.
Πλῆμναι δ' ἀργύρου εἰσὶ περίδρομοι ἀμφοτέρωθεν.
Δίφρος δὲ χρυσέοισι, καὶ ἀργυρέοισιν ἱμᾶσιν
Ἐντέταται. δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι,
Τοῦ δ' ἐξ ἀργύρεος ῥυμὸς πέλεν. αὐτὰρ ἐπ' ἄκρῳ
Δῆσε χρύσειον καλὸν ζυγόν. ἐν δὲ λέπαδνα
Κάλ' ἔβαλε χρύσει', ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη.
Ἵππους ὠκύποδας μεμαυῖ' ἔριδος καὶ ἀϋτῆς.
Αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο
Πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει
Ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο, καὶ κάμε χερσίν.
Ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο,
Τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετ' αἰγίδα θυσανόεσσαν,
Δεινὴν, ἣν περὶ μὲν πάντῃ φόβος ἐστεφάνωτο,
Ἐν δ' ἔρις, ἐν δ' ἀλκὴ, ἐν δὲ κρυόεσσα ἰωκή,
Ἐν δέ τε γοργείη κεφαλὴ δεινοῖο πελώρου
Δεινή τε, σμερδνή τε Διὸς τέρας αἰγιόχοιο.
Κρατὶ δ' ἐπ' ἀμφίφαλον κυνέην θέτο τετραφάληρον
Χρυσείην, ἑκατὸν πόλεων πρυλέεσσ' ἀραρυῖαν.

φλόγεα.] λαμπρά, ἢ διάπυρα. βριθύ.] βαρὺ καὶ καταπληκτικόν. στιβαρόν.] ἰσχυρόν. δάμνησι.] δαμάζει, ἀναιρεῖ, ὑποτάσσεται. κοτέσσεται.] ὀργισθήσεται. ὀβριμοπάτρη.] ὄβριμον καὶ ἰσχυρὸν πατέρα ἔχουσα. ἐπεμαίετο.] ἐφήπτετο, ἐπέψαυεν, ἐπεθύμει. αὐτόμαται.] ἀφ' ἑαυτῶν. μύκον.] ἤχησαν, ἀνεώχθησαν, ἀπὸ τοῦ παρακολουθοῦντος. ἔχον.] νῦν ἀντὶ τοῦ ἐφύλασσον. ἐπιτέτραπται.] ἐγκεχείρισται, ἢ ἐξουσία δέδοται. ἀνακλῖναι.] διαστεῖλαι, ἀναζυγῶσαι, ἀναστεῖλαι. ἐπιθεῖναι.] ἐπικλῖναι, ἐπιπτύξαι. κεντρηνεκέας.] τοὺς τοῖς κέντροις, ὅ ἐστι μάστιξι κεντρουμένους. ἔχον.] ἤλαυνον. ὕπατον.] βασιλέα, ἡγεμόνα. ἐξείρετο.] ἐξηρώτα. ὀσσάτιον.] ὅσον. οὐ κατὰ κόσμον.] οὐ κατὰ τὸ προσῆκον. ἕκηλοι.] ἥσυχοι. τέρπονται.] ἥδονται. ἄφρονα.] ἀνόητον, ἀσύνετον. ἀνέντες.] ἀναπείσαντες. θέμιστα.] δικαιοσύνην. πεπληγυῖα.] πλήξασα. ἐξαποδίωμαι.] ἀποδιώξω, ἐλάσω. ἄγρει μάν.] ἄγε δή. πελάζειν.] προσπελάζειν. μεσσηγύς.] ἀνὰ μέσον. ἠεροειδές.] ἀναπεπταμένου τοῦ μεταξὺ ἀέρος καὶ μηδενὸς ἐμποδίζοντος, ἢ ἀεροειδές. ἥμενος.] καθεζόμενος. σκοπιῇ.] ὑψηλῷ καὶ ἀποσκόπῳ. λεύσσων.] βλέπων. ἐπιθρώσκουσιν.] ἐπιπηδῶσιν. ὑψηχέες.] ὧν ὁ ἦχος εἰς ὕψος ἀνέρχεται, ἢ ὑψαύχενες. ἷξον.] παρεγίνοντο. ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.] ὅπου τὰ ῥεύματα ὁ Σιμόεις καὶ ὁ Σκάμανδρος συμβάλλουσιν. ἀμβροσίην.] τὴν τῶν θεῶν τροφὴν, ἢ πόαν τινὰ νῦν, ἣν οἱ τῶν θεῶν ἵπποι ἐσθίουσιν. ἀνέτειλεν.] ἀνέσχεν, ἀνεφύησεν, ἀνέδωκε. νέμεσθαι.] ἐσθίειν. τρήρωσι.] δειλαῖς ἐπιθετικῶς, παρὰ τὸ τρεῖν. δειλὸν γὰρ τὸ τρέον. τὸ γὰρ τρεῖν σημαίνει τὸ φοβεῖσθαι. πελειάσι.] περιστεραῖς. ἴθματα.] ἴχνη, βήματα, ὁρμήματα. ἀλεξέμεναι.] βοηθεῖν. εἰλόμενοι.] εἰλημένοι, συναθροιζόμενοι κατὰ τὴν μάχην συνειλεγμένοι. λείουσιν.] λέουσιν. ἀλαπαδνόν.] ἀσθενές. ἤϋσεν.] ἐφώνησε. Στέντορι.] οὐδὲν οὐδαμοῦ περὶ τούτου διεξῆλθεν, ὥρμησεν πεποιηκότος. εἰσαμένη.] ἀπεικασθεῖσα, ὁμοιωθεῖσα. χαλκεοφώνῳ.] ἀντὶ τοῦ εὐφώνῳ. αὐδήσασκεν.] ἐφώνει, ἐβόα. αἰδώς.] αἰσχύνη, ὄνειδος. κακ' ἐλέγχεα.] ἐπονείδιστα, κακὰ ὀνείδη. εἶδος ἀγητοί.] εὐμορφίᾳ θαυμαστοί.

πολέμιζον.]

Ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο. λάζετο δ' ἔγχος,
Βριθὺ, μέγα, στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν,
Ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους.
Αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
Τῇς ἐπιτέτραπται μέγας οὐρανὸς οὔλυμπός τε,
Ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι.
Τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Εὗρον δὲ Κρονίωνα θεῶν ἄτερ ἥμενον ἄλλων,
Ἀκροτάτῃ κορυφῇ πολυδειράδος οὐλύμποιο.
Ἔνθ' ἵππους στήσασα θεὰ λευκώλενος Ἥρη,
Ζῆν' ὕπατον Κρονίδην ἐξείρετο, καὶ προσέειπε.
Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρει τάδε καρτερὰ ἔργα;
Ὁσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν
Μὰψ, ἀτὰρ οὐ κατὰ κόσμον. ἐμοὶ δ' ἄχος. οἱ δὲ ἕκηλοι,
Τέρπονται Κύπρις τε, καὶ ἀργυρότοξος Ἀπόλλων,
Ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔτινα οἶδε θέμιστα.
Ζεῦ πάτερ ἦ ῥά τί μοι κεχολώσεαι, αἴ κεν Ἄρηα,
Λυγρῶς πεπληγυῖα μάχης ἐξαποδίωμαι;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς.
Ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην,
Ἥ ἑ μάλιστ' εἴωθε κακῇς ὀδύνῃσι πελάζειν.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
Μάστιξεν δ' ἵππους. τὼ δ' οὐκ ἀέκοντε πετέσθην,
Μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος,
Ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
Ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον,
Τόσσον ἐπιθρώσκουσι θεῶν ὑψηχέες ἵπποι.
Ἀλλ' ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ῥέοντε,
Ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
Ἔνθ' ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη
Λύσασ' ἐξ ὀχέων. περὶ δ' ἠέρα πουλὺν ἔχευε.
Τοῖσι δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι.
Αἱ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι,
Ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι μεμαυῖαι.
Ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι πλεῖστοι καὶ ἄριστοι
Ἕστασαν, ἀμφὶ βίην Διομήδεος ἱπποδάμοιο
Εἰλόμενοι, λείουσιν ἐοικότες ὠμοφάγοισιν,
Ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν,
Ἔνθα στᾶσ' ἤϋσε θεὰ λευκώλενος Ἥρη,
Στέντορι εἰσαμένη μεγαλήτορι χαλκεοφώνῳ,
Ὃς τόσον αὐδήσας χ', ὅσον ἄλλοι πεντήκοντα,
Αἰδὼς Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδος ἀγητοί,

ὄφρα

Ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο δῖος Ἀχιλλεὺς
Οὐδέ ποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων
Οἴχνεσκον· κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος·
Νῦν δ' ἕκαθεν πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται.
Ὣς εἰποῦσ' ὤτρυνε μένος, καὶ θυμὸν ἑκάστου
Τυδεΐδῃ δ' ἐπόρουσε θεὰ γλαυκῶπις Ἀθήνη.
Εὗρε δὲ τόν γε ἄνακτα παρ' ἵπποισι καὶ ὄχεσφιν
Ἕλκος ἀναψύχοντα, τό μιν βάλε Πάνδαρος ἰῷ.
Ἱδρὼς γάρ μιν ἔτειρεν ὑπὸ πλατέος τελαμῶνος
Ἀσπίδος εὐκύκλου, τῷ τείρετο, κάμνε δὲ χεῖρα,
Ἂν δ' ἴσχων τελαμῶνα, κελαινεφὲς αἷμ' ἀπεμόργνυ.
Ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο, φώνησέν τε.
Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.
Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.
Καί ῥ' ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴασκον,
Οὐδ' ἐκπαιφάσσειν, ὅτε τ' ἤλυθε νόσφιν Ἀχαιῶν
Ἄγγελος ἐς Θήβας πολέας μετὰ Καδμείωνας,
Δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον,
Αὐτὰρ ὁ θυμὸν ἔχων ὃν καρτερὸν, ὡς τὸ πάρος περ,
Κούρους Καδμείων προκαλίζετο. πάντα δ' ἐνίκα
Ῥηϊδίως. τοίη τοι ἐγὼ ἐπιτάρροθος ἦα.
Σοὶ δή τοι μὲν ἐγὼ παρά θ' ἵσταμαι. ἠδὲ φυλάσσω
Καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι.
Ἀλλὰ σεῦ ἢ κάματος πολυάϊξ γυῖα δέδυκεν,
Ἤ νύ σέ που δέος ἴσχει ἀκήριον, οὐ σύ γ' ἔπειτα
Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνείδαο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη κρατερὸς Διομήδης.
Γινώσκω σε θεὰ θύγατερ Διὸς αἰγιόχοιο.
Τῷ τοι προφρονέως ἐρέω ἔπος, οὐδ' ἐπικεύσω.
Οὔτε τί με δέος ἴσχει ἀκήριον, οὔτε τις ὄκνος,
Ἀλλ' ἔτι σῶν μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας.
Οὔ μ' εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι
Τοῖς ἄλλοις. ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη
Ἔλθῃσ' ἐς πόλεμον, τήν γ' οὐτάμεν ὀξέϊ χαλκῷ.
Τοὔνεκα νῦν αὐτὸς ἀναχάζομαι, ἠδὲ καὶ ἄλλους,
Ἀργείους ἐκέλευσα ἀλήμεναι ἐνθάδε πάντας.
Γινώσκω γὰρ Ἄρηα μάχην ἀνὰ κοιρανέοντα.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη.
Τυδεΐδη Διόμηδες ἐμῷ κεχαρισμένε θυμῷ,
Μήτε σύ γ' Ἄρηα τόν δε δείδιθι, μήτε τιν' ἄλλον
Ἀθανάτων. τοίη τοι ἐγὼν ἐπιτάρροθός εἰμι.
Ἀλλ' ἄγ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
Τύψον δὲ σχεδίην, μηδ' ἅζεο θοῦρον Ἄρηα
Τοῦτον μαινόμενον, τυκτὸν κακὸν, ἀλλοπρόσαλλον,
Ὃς πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτ' ἀγορεύων
Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν,

νῦν

πωλέσκετο.] ἐφοίτα, ἀνεστρέφετο. τὸ ω μέγα διὰ τὸ μέτρον. ἴχνεσκον.] ἐπορεύοντο, προσίεσαν. ἐδείδισαν.] ἐφοβοῦντο. ἀναψύχοντα.] καταπνεόμενον. ἔτειρεν.] κατεπόνει. τελαμῶνος.] τῆς ἀναφορέως. ἀνδ' ἰσχών.] ἀνέχων καὶ ἀνατείνων. ὅπερ ἐστὶν ἄνω ἔχων καὶ μετεωρίζων. κελαινεφές.] μέλαν παραγωγῶς. οὐ γὰρ ἔγκειται τὸ νέφος. ἀπεμόργνυ.] ἀπέψα, ἀπέμασσεν. ὀλίγον.] ἀντὶ τοῦ οὐκ ὀλίγον, οὐδὲ ὅλως. ἄγγελος.] λαφυραγωγός. ἐοικότα.] ἑαυτῷ ὅμοιον. γείνατο.] ἐγέννησεν. εἴασκον.] εἴων. ἐκπαιφάσσειν.] ἐνθουσιᾶν. δαίνυσθαι.] εὐωχεῖσθαι. ἕκηλον.] ἥσυχον. προκαλίζετο.] προεκαλεῖτο. ἐπιτάρροθος.] βοηθός. ἦα.] ἦν, ὑπῆρχον. προφρονέως.] προθύμως. κέλομαι.] κελεύω. πολυάϊξ.] πολυόρμητος. δέδυκεν.] ὑπεισῆλθεν, ἐκρύβη. ἀκήριον.] ἀψυχοποιὸν, εἰς ἀψυχίαν ἄγον. ἔγγονος.] παῖς υἱὸς, ἤγουν ἀπόγονος. ἐσσι.] ὑπάρχεις. Οἰνείδαο.] πατρωνυμικῶς τοῦ Τυδέως. ἐπικεύσω.] ἐπικρύψομαι. ἐφετμέων.] ἐντολῶν. οὐ μ' εἴας.] οὐ συνεχώρεις μοι. ἀτὰρ ἐκεῖν.] ἐὰν δέ. ἀναχάζομαι.] ἀναχωρῶ. ἀλήμεναι.] ἀθροισθῆναι, συστραφῆναι. ἀνακοιρανέοντα.] διατάσσοντα. αἱ προθέσεις ἀντιλαμβανόμεναι ἀλλήλων τοὺς οἰκείους τόπους τηροῦσι. δείδιθι.] φοβοῦ. σχεδίην.] ἐκ τοῦ σύνεγγυς. ἅζεο.] φοβοῦ, σέβου. τυκτόν.] κατασκευαστόν. ἀλλοπρόσαλλον.] ἄλλοτε ἄλλῳ φίλον. στεῦτο.] ἐβεβαιοῦτο, διωρίζετο.



ὁμιλεῖ.]

ὁμιλεῖ.] ἀναστρέφεται, μάχεται. λέλασται.] ἐπιλέλησται. πάλιν.] νῦν ἀντὶ τοῦ εἰς τοὐπίσω. ἐρύσασα.] ἑλκύσασα.

ἐμμαπέως.] ἐνεργῶς, ταχέως, ἑτοίμως, προθύμως, σπουδαίως, μετὰ σπουδῆς.

ἔβραχεν.] ἤχησε. βριθοσύνῃ.] βαρύτητι, τῷ βάρει. φήγινος.] δρύϊνος.

λάζετο.] ἐλάμβανε. δῦνεν.] ἔδυνεν, ἐνεδύσατο. ἄϊδος κυνέην.] νέφος τί καὶ ἀορασίαν. ἢ ἀντὶ τοῦ τὸ πρόσωπον ἔκρυψεν ὑπὸ τὴν περικεφαλαίαν. κυνέην.] τὴν περικεφαλαίαν. ἔασε.] κατέθετο, ἀφῆκεν. ἐξαίνυτο.] ἐξείλκυσεν.

ἰθύς.] ἐπ' εὐθείας. ὠρέξατο.] ἐπέτεινε. μεμαώς.] προθυμούμενος.

ἐτώσιον.] ἅλιον, μάταιον. ἀϊχθῆναι.] ὁρμηθῆναι. ἐπέρεισεν.] ἐπήρεισεν. ἐπεστήριξε. νείατον.] ἔσχατον. κενεῶνα.] κενεών ἐστι τόπος κενὸς ὀστέου. ἢ λαπάρα, ἣ καὶ λαγὼν λέγεται. ἔδαψε.] διῆλθε, διέκοψεν, ἔτεμεν. ἔβραχεν.] ἤχησεν. ἐννεάχιλοι.] ἐννάκις χίλιοι.

δεκάχιλοι.] μύριοι. ἆτος.] ἀκόρεστος. οἵη.] ὁποία. ἐρεβεννή.] σκοτεινή. καύματος ἐξ ἀνέμοιο.] ὅπερ ἐστὶν ἐξ ἀνέμου. ὅταν γὰρ καυματώδους οὔσης τῆς ἡμέρας πρὸς ἀνατολὴν ἢ δύσιν ὁ ἀὴρ μέλας δοκῇ, προσδοκῶσιν ἄνεμον. τὸ δὲ ἑξῆς, ἐκ καύματος ἀνέμου ὁρμήσαντος δυσαέος. ἡ ἐξ ἀντὶ τῆς μετά. δυσαέος.] χαλεπῶς πνέοντος, δυσπνόου. ὀρνυμένοιο.] διεγειρομένου. φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.] εἰς τὸ νεφέεσσι διαστολή· ἵν' ᾖ ἐγγὺς τῶν νεφῶν. Δημοσθένης, Ἀθηναίοις δὲ ἐσμὲν ὁμοῦ δυσμενεῖς. οἱ δὲ συνάπτουσιν ὅλον ἀντὶ τοῦ ὑπὸ νεφῶν κεκαλυμμένος, καὶ εἰς οὐρανὸν ἀνιών. ἕδος.] ἕδρασμα. ἀχεύων.] λυπούμενος. ἐξ ὠτειλῆς.] ἐκ τοῦ τραύματος. ὀλοφυρόμενος.] οἰκτιζόμενος. νεμεσίζῃ.] μέμφῃ.

ῥίγιστα.] φρικτά. τετληότες.] ὑπομεμενηκότες. εἰμὲν.] ἐσμέν. ἰότητι.] γνώμῃ, βουλήσει. χάριν δ' ἄνδρεσσι φέροντες.] ἀντὶ τοῦ ἀνθρώποις χαριζόμενοι.

σοὶ πάντες μαχόμεσθα.] οὐχί σοί φησιν εἰς μάχην καθιστάμεθα. σοί.] ἀντὶ τοῦ διὰ σέ. ἄφρονα.] ἀνόητον, ἀσύνετον.

ἀήσυλα.] ἄδικα, ἁμαρτωλά. ἐκ τοῦ ἥδω ἥσω ἥσυλα· καὶ ἀήσυλα τὰ μὴ πρέποντα, ἢ μὴ εὐφραίνοντα. δεδμήμεσθα.] ὑποτετάγμεθα. προτιβάλλεαι.] ἐπιστρέφεις, σωφρονίζεις, ἐπιπλήσσεις.

ἀνίεις.]

Νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ· τῶν δὲ λέλασται.
Ὣς φαμένη, Σθένελον μὲν ἀφ' ἵππων ὦσε χαμᾶζε,
Χειρὶ πάλιν ἐρύσασ', ὁ δ' ἄρ' ἐμμαπέως ἀπόρουσε,
Ἣ δ' ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον
Ἐμμεμαυῖα θεά, μέγα δ' ἔβραχε φήγινος ἄξων
Βριθοσύνῃ. δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρα τ' ἄριστον.
Λάζετο δὲ μάστιγα καὶ ἡνία Παλλὰς Ἀθήνη,
Αὐτίκ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε μώνυχας ἵππους.
Ἤτοι ὁ μὲν Περίφαντα πελώριον ἐξενάριξεν.
Αἰτωλῶν ὄχ' ἄριστον Ὀχησίου ἀγλαὸν υἱόν.
Τὸν μὲν Ἄρης ἐνάριζε μιαιφόνος. αὐτὰρ Ἀθήνη
Δῦν' Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης.
Ὡς δὲ ἴδε βροτολοιγὸς Ἄρης Διομήδεα δῖον
Ἤτοι ὁ μὲν Περίφαντα πελώριον αὐτόθ' ἔασεν
Κεῖσθαι, ὅθι πρῶτον κτείνων ἐξαίνυτο θυμόν.
Αὐτὰρ ὁ βῆ ῥ' ἰθὺς Διομήδεος ἱπποδάμοιο.
Οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Πρόσθεν Ἄρης ὠρέξαθ' ὑπὲρ ζυγὸν ἡνία θ' ἵππων
Ἔγχει χαλκείῳ, μεμαὼς ἀπὸ θυμὸν ὀλέσσαι.
Καὶ τό γε χειρὶ λαβοῦσα θεὰ γλαυκῶπις Ἀθήνη
Ὦσεν ὑπ' ἐκ δίφροιο ἐτώσιον ἀϊχθῆναι.
Δεύτερος αὖθ' ὡρμᾶτο βοὴν ἀγαθὸς Διομήδης
Ἔγχει χαλκείῳ, ἐπέρεισε δὲ Παλλὰς Ἀθήνη
Νείατον ἐς κενεῶνα, ὅθι ζωννύσκετο μίτρην.
Τῇ ῥά μιν οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν.
Ἐκ δὲ δόρυ σπάσεν αὖτις. ὁ δ' ἔβραχε χάλκεος Ἄρης.
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος,
Τοὺς δ' ἄρ' ὑποτρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε
Δείσαντας, τόσον ἔβραχ' Ἄρης ἆτος πολέμοιο.
Οἵη δ' ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ
Καύματος ἐξ ἀνέμοιο δυσαέος ὀρνυμένοιο
Τοῖος Τυδεΐδῃ Διομήδεϊ χάλκεος Ἄρης
Φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν.
Καρπαλίμως δ' ἵκανε θεῶν ἕδος αἰπὺν Ὄλυμπον.
Πὰρ δὲ Διὶ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων.
Δεῖξε δὲ ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς.
Καί ῥ' ὀλοφυρόμενος ἔπεα πτερόεντα προσηύδα.
Ζεῦ πάτερ, οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;
Αἰεί τοι ῥίγιστα θεοὶ τετληότες εἰμὲν
Ἀλλήλων ἰότητι, χάριν δ' ἄνδρεσσι φέροντες.
Σοὶ πάντες μαχόμεσθα, σὺ γὰρ τέκες ἄφρονα κούρην
Οὐλομένην, ᾗ τ' αἰὲν ἀήσυλα ἔργα μέμηλεν.
Ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστος.
Ταύτην δ' οὔτ' ἔπεϊ προτιβάλλεαι, οὔτέ τι ἔργῳ,

Ἀλλ' ἀνίεις

Ἀλλ' ἀνίεις. ἐπεὶ αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον,
Ἣ νῦν Τυδέος υἱὸν ὑπέρθυμον Διομήδεα
Μαργαίνειν ἀνέηκεν ἐπ' ἀθανάτοισι θεοῖσι.
Κύπριδα μὲν πρῶτον σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ.
Αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος.
Ἀλλά μ' ὑπήνεικαν ταχέες πόδες. ἦ τέ κε δηρὸν
Αὐτοῦ πήματ' ἔπασχον ἐν αἰνῇσι νεκάδεσσιν,
Ἤ κεν ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη νεφεληγερέτα Ζεύς.
Μή τί μοι ἀλλοπρόσαλλε παρεζόμενος μινύριζε.
Ἔχθιστος δέ μοι ἐσσὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε
Μητρός τοι μένος ἐστὶν ἀάσχετον, οὐκ ἐπιεικτὸν
Ἥρης. τὴν μὲν ἐγὼ σπουδῇ δάμνημ' ἐπέεσσιν.
Τῷ σ' ὀΐω κείνης τάδε πάσχειν ἐννεσίῃσιν.
Ἀλλ' οὐ μάν σ' ἔτι δηρὸν ἀνέξομαι ἄλγε' ἔχοντα.
Ἐκ γὰρ ἐμεῦ γένος ἐσσί. ἐμοὶ δέ σε γείνατο μήτηρ.
Εἰ δέ τευ ἐξ ἄλλου γε θεῶν γένευ ὧδ' ἀΐδηλος,
Καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος οὐρανιώνων.
Ὣς φάτο, καὶ Παιήον' ἀνώγει ἰήσασθαι.
Τῷ δ' ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων,
Ἠκέσατ' οὐ μὲν γάρ τι καταθνητός γ' ἐτέτυκτο.
Ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν
Ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιστρέφεται κυκόωντι,
Ὣς ἄρα καρπαλίμως ἰήσατο θοῦρον Ἄρηα.
Τὸν δ' Ἥβη λοῦσεν, χαρίεντα δὲ εἵματα ἕσσε.
Πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο κύδεϊ γαίων,
Αἱ δ' αὖθις πρὸς δῶμα Διὸς μεγάλοιο νέοντο,
Ἥρη τ' Ἀργείη, καὶ Ἀλαλκομενηῒς Ἀθήνη,
Παύσασαι βροτολοιγὸν Ἄρην ἀνδροκτασιάων.

ἀνίεις.] ἀφίεις. ἐγείναο.] ἐγέννησας. παῖδ' ἀΐδηλον.] ἐπιβλαβῆ, ἀδηλοποιόν. ἢ ἀφανῆ γενησομένην. μαργαίνειν.] μαίνεσθαι, ἐνθουσιᾶν, ἀκρατῶς ὁρμᾶν. ὑπήνεγκαν.] ἐξήγαγον. δηρόν.] ἐπὶ πολὺ χρόνον. νεκάδεσσι.] ταῖς τῶν νεκρῶν τάξεσιν. ἤ κεν ζώς.] ἢ ζῶν ἄν. ζώς.] ζῶν, ζωός, ἡ γενικὴ ζωοῦ. ἀπὸ γὰρ τοῦ ζωός ἐστιν ἡ συναίρεσις, διὸ ὀξύνεται. ἀμενηνός.] ἀσθενής. οὐκ ἔχων μένος. τυπῇσι.] τραύμασι, πληγαῖς, τρώσεσι. μινύριζε.] θρήνει. εἴτ' οὖν ἀποδύρου, ἢ ἠρέμα θρήνει. ἀάσχετον.] ἀνυπομόνητον. ὃ οὐχ οἷόν τε ἐπισχεθῆναι. οὐκ ἐπιεικτόν.] οὐκ εὐκατάπληκτον. οὐχ ὑποχωρητικόν, οὐκ ἐνδοτόν. σπουδῇ.] μόγις. δάμνημι.] δαμάζω. ἐννεσίῃσι.] βουλήσεσι, βουλαῖς, ἐννοίαις. εἰ δέ τευ.] εἰ δέ τινος. γένευ.] ἐγένου. ἀΐδηλος.] ἀφανιστικός. ἐνέρτερος.] κατώτερος. οὐρανιώνων.] τῶν Τιτάνων υἱῶν. ἰήσασθαι.] ἰάσασθαι, θεραπεῦσαι. Παιήων.] ἰατρὸς θεῶν. ὀδυνήφατα.] τὰ τὰς ὀδύνας φθείροντα καὶ παύοντα. ὀπός.] τὸ γαλακτῶδες τῆς συκῆς. ἐπειγόμενος.] ταρασσόμενος. περιστρέφεται.] περιπήγνυται, ὅθεν καὶ ἡ τροφαλίς. κυκόωντι.] κινοῦντι, ταράσσοντι. ἕσσε.] περιέβαλεν, ἠμφίεσε. κύδεϊ γαίων.] τῇ δόξῃ γαυριῶν. ἀλαλκομενηΐς.] κατὰ δύναμιν βοηθοῦσα. ἀνδροκτασιάων.] ἀνδροφονιῶν, ἀνδρῶν ἀναιρέσεων.